AESCHYLI

EUMENIDES

EDIDIT

MARTIN L. WEST



STVTGARDIAE IN AEDIBVS B.G. TEVBNERI MCMXCI

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Aeschylus:
[Eumenides]
Aeschyli Eumenides / ed. Martin L. West. – Stutgardiae :
Teubner, 1991
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-519-01017-8
NE: West, Martin L. [Hrsg.]


Printed in Germany

Gesamtherstellung: Passavia Druckerei GmbH Passau

PRAEFATIO

De codicibus Orestiae et Supplicum

In Agamemnonis textu constituendo quinque libris nitimur, M V G T F. Sed soli T F totam fabulam conservant, ceteri minus dimidio. Stemma est hoc:



M est liber longe vetustissimus atque optimus, Laur. 32.9 (saec. x); nec tamen semper lectionem meliorem praebet, sed omnia sunt acri iudicio perpendenda. Adsidue correctus est ab eo qui scholia adscripsit (M^s); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit.

τ est exemplar deperditum, quod Demetrius Triclinius ca. 1315–20 emendationibus quibusdam scholiisque metricis exornavit; idem postea codicem T conscripsit novisque

emendationibus textum immutavit. Quicquid igitur consentientes GTF vel GF vel TF offerunt, quaerendum est utrum primitus in codice *τ* e traditione fuerit, an inter priora Triclinii emendamenta numerandum sit.

In Eumenisim pariter res se habet, sed abest V, familiae *τ* accedit liber quartus recentior E. In Choephoris autem, ut in Supplicibus, exstat M solus cum apographis suis, quae infra recensentur.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

INDEX SIGLORVM

LIBRI PRIMARII

Π_5 Pap. Oxy. 2178, saec. ii: Ag. 7–17, 20–30
M Laur. 32.9, saec. x: Ag. 1–310, 1067–1159, Cho., Eum.
V Marc. gr. 468 (653), ca. 1270: Ag. 1–348
τ G Marc. gr. 616 (663), ca. 1321: Ag. 1–45, 1095–fin., Eum.
T Neapol. II F 31, ca. 1325: Ag., Eum.
F Laur. 31.8, ca. 1335–1348: Ag., Eum.
E Salmantic. Bibl. Univ. 233, ca. 1450–1470: Eum.

CODICIS M APOGRAPHA

Ma Laur. S. Marco 222, saec. xiv in.
Mb Bonon. Bibl. Univ. 2271, saec. xv
Mc Guelferbytanus Gud. gr. 4° 88, ca. 1495
Md Scorial. T. I. 15, ca. 1540
Me Par. gr. 2886, ca. 1518–1521
Mf Monac. gr. 546, saec. xvi

SIGLA CETERA

Ω	lectio omnium codicum vel utique archetypi
Σ	scholium vetus (Σ^{λ} scholii lemma; Σ_{I} scholium in cod. I)
Σ^{*}	scholium incertae aetatis
Φ	commentarius paraphrasticus in triadem, saec. fere xii
Θ	Thomae Magistri textus
T^{σ}	Triclinius in scholio suo
A^{1}, A^{2}	A a prima /ab altera manu correctus
A^{a}, A^{c}	A ante/post correctionem
$A^{a?}$, A^{a}?	A, fort. a.c./fort. A a.c.
A^{a2}, A^{as}	A ante correctionem ab altera manu/a scholiorum scriba factam
$A^{\times}$	A ante vel post correctionem (incertum utrum)
A^{gl}	glossema in A, vel lectio quasi glossema adscripta
$A^{\gamma\varrho}$	varia lectio cum γϱ. in A adscripta
A^{mg}	A in margine
A^{r}	A in rasura
A^{s}	A tum correctus cum scholia addita sunt
A^{ss}	lectio in A super lineam scripta
A^{t}	A in textu, altera lectione inter lineas vel in margine adscripta
A^{uv}	A ut videtur
A+	A cum alio quodam codice (vel plus uno) qui saepe ab eodem hyparchetypo pendet (cf. pp. VIII sqq.)
‖‖	littera erasa
*	littera obscura
ạ	littera quae α videtur esse
[ ]	textus periit
⌊ ⌋	papyrus periit

⟦ ⟧ delevit scriba
{ } delenda censeo
⟨ ⟩ inserenda censeo
⟨XO.⟩ nec personae nota nec paragraphus est in cod(d).
† † corruptela non sanata
| finis versus vel lineae
ci. coniecit, coniectura
ss. suprascripsit, cum suprascripto
u. v. ut videtur

VIRORVM DOCTORVM NOMINA BREVIATA

Asul(anus)
Aur(atus)
Blomf(ield)
Casaub(onus)
Dind(orf, W.)
Rob(ortello)
Scal(iger)
Steph(anus)
Tricl(inius)
Turn(ebus)
Vict(orius)
Wil(amowitz)

ΕΥΜΕΝΙΔΕΣ

Ἀριστοφάνους γραμματικοῦ ἡ ὑπόθεσις

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῆι Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῆι νικήσας κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐρινύας πραΰνασα προσηγόρευσεν Εὐμενίδας. παρ'
5 οὐδετέρωι κεῖται ἡ μυθοποιία.

τὰ τοῦ δράματος πρόσωπα

Πυθιὰς προφῆτις: Ἀπόλλων: Ὀρέστης: Κλυταιμήστρας εἴδωλον: χορὸς Εὐμενίδων: Ἀθηνᾶ: προπομποί:

ἀριστοφ γρ ἡ ὑπόθεσισ M: om. τ   3–4 cf. Harpocr. s. v. Εὐμενίδες p. 140.13 Dind. Αἰσχύλος ἐν Εὐμενίσιν εἰπὼν τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέστου φησὶν ὡς ἡ Ἀθηνᾶ πραΰνασα τὰς Ἐρινύας ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην Εὐμενίδας ὠνόμασεν   4 πραΰνασα Harpocr.: πραΰνασ M: πραϋνούσας τ

ΕΥΜΕΝΙΔΕΣ

ΠΡΟΦΗΤΙΣ

Πρῶτον μὲν εὐχῆι τῆιδε πρεσβεύω θεῶν
τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῶι τρίτωι
5 λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανὶς ἄλλη παῖς Χθονὸς καθέζετο
Φοίβη· δίδωσιν δ' ἥ, γενέθλιον δόσιν,
Φοίβωι· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,
10 κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
εἰς τήνδε γαῖαν ἦλθε Παρνησσοῦ θ' ἕδρας·
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
ἀνήμερον τιθέντες ἡμερωμένην.
15 μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς
Δελφός τε, χώρας τῆσδε πρυμνήτης ἄναξ,

2–4 resp. Harpocr. 150.6 8 Tz. Exeg. Il. 124.5 Lolos; resp. Ap. Soph. 164.10

Codd. M GTFE (= τ)

1 πρώτην Blaydes[6], at cf. fr. 451 k.1 3 δὴ'πὸ anon.[8] 8 τήθης δ' Weil[13] 78 (contra Σ Tz.) δ' om. Tz. 9 λιπών τε M[a] 11 παρ⟦α⟧νησσοῦσθ' M, παρνησούς θ' τ: corr. Rob. (Παρνησοῦ), Turn. 12 μέγα⟦ν⟧ E

τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα
ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
20 τούτους ⟨μ⟩ὲν εὐχαῖς φροιμιάζομαι θεούς,
Παλλὰς Προνάια δ' ἐν λόγοις πρεσβεύεται·
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφαί·
Βρόμιος ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
25 ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός,
λαγῶ δίκην Πενθεῖ καταρράψας μόρον·
Πλειστοῦ τε πηγὰς καὶ Ποσειδῶνος κράτος
καλοῦσα καὶ τέλειον ὕψιστον Δία
ἔπειτα μάντις εἰς θρόνους καθιζάνω.
30 καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῶι
ἄριστα δοῖεν· κεἰ πάρ' Ἑλλήνων τινές,
ἴτων πάλωι λαχόντες, ὡς νομίζεται·
μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεός.

—

ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν
35 πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,

19 Macr. Sat. 5.22.13 34 cf. Hsch. δ 2307

18 τοῖσδε Bourdelot χρόνοις Ω: corr. Turn. 19 πατρὸς ... Διός Macr. 20 μὲν (cf. Pers. 200 post 176. Ag. 829 post 810) Blaydes[6]: ἐν Ω 21 προνάια M: προναῖα τ 22 fort. τε 23 ἀναστροφαί τ: -φᾶ M, -φή Σ: ἐπιστροφαί Burges[9] 24 δ'ἔχει τ 26 λαγὼ M: de accentu v. Kühner-Blass I 407 27 πλείστους Ω (πλήστ- M[a]): corr. Turn. (Πλείστου), Stanley[2] 31 παρ' Ω: corr. Abresch II 4 32 ἴτων Σ M: ἴτην τ 33 μαντεύσομαι Kirchhoff[2] 34 paragr. praefixa in M

ὡς μήτε σωκεῖν μήτέ μ' ἀκταίνειν στάσιν·
τρέχω δὲ χερσίν, οὐ ποδωκείαι σκελῶν.
δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.
  ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν·
40 ὁρῶ δ' ἐπ' ὀμφαλῶι μὲν ἄνδρα θεομυσῆ
ἕδρας ἔχοντα προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ' ἐλαίας θ' ὑψιγέννητον κλάδον
λήνει μεγίστωι σωφρόνως ἐστεμμένον,
45 ἀργῆτι μαλλῶι· τῆιδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος –
οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω·
οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις.
50 εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται· μέλαιναι δ', εἰς τὸ πᾶν βδελύκτροποι,
ῥέγκουσι δ' οὐ πλατοῖσι φυσιάμασιν,

36 (ἀκτ.) Phryn. PS 39.8 B., Hsch. α 2655, Lex. Αἱμ. 618.3, Synag. AB 370.12 (Phot. α 874), Et. G. Sym. = M. 54.34 (244.12, 29, 245.5 L.-L.), sch. Pl. Lg. 672c. cf. Radt ad fr. dub. 454   44 (λήνει) Hsch. λ 884

---

36 στάσιν *Ω* (σͭτάσιν E) et fort. Phryn.: βάσιν $M^{s\gamma\varrho}$ et fort. Σ/Etym.   37 οὐ ποδωκεία GFE: οὔπω δοκία M^{a}, οὐ ποδωκία M^{1}T (-ίαι M^{s})   40 ὀφθαλμῶ *τ*   θεομυσῆι M: -μισῆ *τ*   41 ἕδραν ἔχοντι M   42 νεοσπαθὲς *τ*   44 λίνει *τ*   fort. μεριστῶι   45 susp. Schütz[2], del. Schoemann[0]   46 λόχος *τ*Σ_{T}^{λ}: λέχοσ M   47 ἡμένος *τ*   49 εἰκάζω Wecklein[13]   50 ἤδη M: εἶδον *τ*   52 κελαιναὶ Blaydes[6] cl. Ag. 462 (contra Sept. 832.977)   τ' Hartung   βδελύτροποι *τ*Σ_{TE}^{λ} 53 πλαστοῖσι *Ω*: corr. Elmsley[1] 238

ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ λίβα·
55 καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας,
οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνον.
60 τἀντεῦθεν ἤδη τῶνδε δεσπότηι δόμων
αὐτῶι μελέσθω Λοξίαι μεγασθενεῖ·
ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.

—

ΟΡΕΣΤΗΣ

85 ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ ἀδικεῖν·
ἐπεὶ δ' ἐπίσται, καὶ τὸ μὴ ἀμελεῖν μάθε.
87 σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

ΑΠΟΛΛΩΝ

64 οὔτοι προδώσω, διὰ τέλους δέ σοι φύλαξ
65 ἐγγὺς παρεστώς, καὶ πρόσω δ' ἀποστατῶν,
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾶις –
ὕπνωι πεσοῦσαι δ' αἱ κατάπτυστοι, κόραι

62 cf. ad Supp. 263

---

54 λίβα Burges[9] (cf. Σ αἱματηρὸν σταλαγμόν): δία M: βίαν *τ* 55 καὶ ⟨ὁ⟩ (χὠ) Wil.[19] 57 τῆσ M^{a}, τῆδ' E 58 ἤ τι γαῖα *τ* 59 ἀνατὶ Blomf.[5] ad Prom. 216 πόνον (Σ?) D'Arnaud 251: -ων *Ω* 60 κἀντεῦθεν Σ_{T}^{λ}: τἀντεῦθε G T F[1] (τ^{c}) ἤδη M: μὲν οὖν *τ* 63 δειμάτων Wakefield[3] post h.v. lac. stat. Hartung 85–7 huc trai. Burges[9] (85–8 Maas[6]) 65 πρόσω δ' (def. Sansone 6 sq.)] πρόσωθ' Musgrave: πρόσω γ' Blomf.[2] 166 66 πρέπων $\Sigma^{\gamma\rho}$ 68 ὕπνωι· M^{s} (-ω M^{a}) πεσοῦσα M^{as}: πεσοῦμαι G: πνέουσιν A. G. Winckelmann (πνέουσι δ' Hermann[32]): πεδῶνται Weil[6]

γραῖαι, παλαιαὶ παῖδες, αἷς οὐ μείγνυται
70 θεῶν τις οὐδ' ἄνθρωπος οὐδὲ θήρ ποτε·
κακῶν δ' ἕκατι κἀγένοντ', ἐπεὶ κακόν
σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονός,
μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων –
ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένηι.
75 ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
βιβῶντ' ἀν' αἰεὶ τὴν πλανοστιβῆ χθόνα
ὑπέρ τε πόντον καὶ περιρρύτας πόλεις.
καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος
πόνον, μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
80 ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας·
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες μηχανὰς εὑρήσομεν
ὥστ' εἰς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων·
84 καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷιον δέμας.
88 μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός,
90 Ἑρμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμόν
ἱκέτην· σέβει τοι Ζεὺς τόδ' ἐκνόμων σέβας
ὁρμώμενον βροτοῖσιν εὐπόμπωι τύχηι.

—

69 γραῖαι (cf. 150)] Νυκτὸς Valckenaer[5] 147 μίγνυται *Ω*: corr. Blass[9] 75 sq. μακραῖς β. ἄλαισι Emperius[3] 303 βιβῶντ' Steph.: βεβῶντ' M: βεβόντ' *t* ἂν *Ω*: corr. Hermann[28] 24 77 πόντου *Ω*: corr. Turn. 79 ποτιπτόλιν παλλάδοσ M[as] 89 κἀκ Burges[9] cf. Eur. I.T. 800 92 ἵκτην H. Wolf σέβει – σέβας parenthetice accipit Fraccaroli 93 ὁρμωμένων Blaydes[6]

ΚΛΥΤΑΙΜΗΣΤΡΑΣ ΕΙΔΩΛΟΝ

εὕδοιτ' ἄν, ὠή· καὶ καθευδουσῶν τί δεῖ;
95 ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
ἄλλοισιν ἐν νεκροῖσιν, ὧν μὲν ἔκτανον
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἀλῶμαι, προυννέπω δ' ὑμῖν ὅτι
ἔχω μεγίστην αἰτίαν κείνων ὕπο,
100 παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται
κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
ὅρα δὲ πληγὰς τάσδε καρδίαι σέθεν·
εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται.
105 {ἐν ἡμέραι δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν.}
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάραι πυρός
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν·
110 καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα,
ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως· ἐκ μέσων ἀρκυστάτων

96 ὧν Tyrwhitt[1] 16 ex Σ (ὑπὲρ ὧν): ὡς *Ω* 99 ὕπερ Weil[6] 100 sq. παθοῦσά γ' ... οὐδεὶς δ' *τ* ὑπὲρ μοῦ GF, ἐμοῦ T, 'μοῦ E 103–5 susp. Schütz[2], 105 tantum Prien[1] 177, nimirum ex alia tragoedia invectum μοῖρ' ἀπρόσκοπος (Σ) Turn.: μοῖρα πρό- *Ω* 107 νιφάλια *Ω*: corr. Rob., Turn. 108 νυκτὶ σεμνὰ *Ω* (ὶ ex ο M, νύκτι E): composuit Turn. 110 ταῦτα πάντα E (cf. 112) 111 νεκροῦ *τ* 112 καὶ κάρτα Herwerden[1] 105: possis κάταυτα sicut πάραυτα (hoc Metzger) post κούφως interpunxit Rose possis ἐκ μέσων ⟨δ'⟩ ἀρκυσμάτων *Ω*: corr. Turn.

ὥρουσεν, ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ', ὡς ἔλεξα τῆς ἐμῆς περὶ
115 ψυχῆς· φρονήσατ' ὦ κατὰ χθονὸς θεαί·
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμήστρα καλῶ.

ΧΟΡΟΣ

(μῡγμός)

ΚΛ. μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω·
†φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς† προσίκτορες.
120 ΧΟ. (μυγμός)
ΚΛ. ἄγαν ὑπνώσσεις, κοὐ κατοικτίζεις πάθος·
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.
ΧΟ. (ὠγμός)
ΚΛ. ὤζεις, ὑπνώσσεις· οὐκ ἀναστήσηι τάχος;
125 τί σοι τέτακται πρᾶγμα πλὴν τεύχειν κακά;
ΧΟ. (ὠγμός)
ΚΛ. Ὕπνος Πόνος τε, κύριοι ξυνωμόται,
δεινῆς δρακαίνης ἐξεκήραναν μένος.

113 (ἐγκ.) Hsch. ε 204 124 (ὤζ.) Eu. 127.10 128 (ἐξεκήρ.) cf. Hsch. ε 3674, Phot.

---

113 ὤρουσε δ' Groeneboom ὑμῖν MT: ἡμῖν *τ* ἐκκατ- *Ω*: corr. Turn. 114 ὧν Aur.[3] πέρι M, cf. ad Pers. 460. Ag. 1037 116 κλυταιμνήστρα *Ω*: corr. Wecklein[11] 117.120.123.126 choro trib. Rob., Turn.: Apollini *τ*: paragraphi in M 117.120 μὺ μύ Davies (praeeunte Müller[2] 80), item 123.126 ὢ ὤ, 129 μὺ μύ quater 118 ἀνὴρ *Ω*: corr. Wakefield[3] possis φυγὼν, cf. 111 et ad 175 119 φίλοι ... οὐκ ἐμοὶ Schütz[2]: φίλοις ..., οὐκ ἐμοί, Hermann[28] 32: φίλοι ... προσεικότες Weil[6]: φίλων ... οὐ κενοὶ Dodds 121 ἄγαν γ' GTFE (Tricl. ut solet, cf. Fraenkel[1] ad Ag. 1241) κατοικτίζει (pro -ηι) Dind.[12] 123 μωγμός *Ω*: corr. fere Rob. (ὠιγμός Blass[9]) 124 ὤιζεισ M (item R in Ar. Vesp. 1526) et in Σ, contra Eust. κοὐκ *τ* 125 τέτακται (208) Wakefield[3]: πέπρακται *Ω*: πέπρωται Stanley[1] (aliter Prom. 519) 127 fort. καίριοι ξυν- Wakefield[3]: συν- *Ω* 128 δειναῖς δρακαίναις Boissonade

ΧΟ. (μυγμὸς διπλοῦς ὀξύς)
130 λαβέ. λαβέ.
λαβέ. λαβέ. φράζου.
ΚΛ. ὄναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἅπερ
κύων μέριμναν οὔποτ' ἐκλείπων πόνου.
τί δρᾶις; ἀνίστω, μή σε νικάτω πόνος,
μηδ' ἀγνοήσηις πῆμα μαλθαχθεῖσ' ὕπνωι.
135 ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν·
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται·
σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῶι,
ἀτμῶι κατισχ⟨ν⟩αίνουσα, νηδύος πυρί,
ἕπου, μάραινε δευτέροις διώγμασιν.

140 ΧΟ. ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σέ.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον
ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾶι.

— ἰοὺ ἰοὺ πυπάξ· str. 1
ἐπάθομεν, φίλαι –
ἦ πολλὰ δὴ πονοῦσα καὶ μάτην ἐγώ –
145 ἐπάθομεν πάθος δυσακές, ὢ πόποι,
ἄφερτον κακόν.

129 θωΰγμὸς West[2] 100 130 λάβε parox. Ω inter choreutas distrib. Müller[2] 80 φάρξον West l. c. 131 κλαγγάνεις Wakefield[3] θ' Scal.[1] 44 132 ἐκλιπὼν Ω: corr. Blomf.[4] ad Sept. 55 φόνου Dawe[4] cl. 246 sq.: ἄγρας Schütz[2] 134 μαλθαχθεῖσ' M[1]: -εὶς M[a] τ 136 γίνεται Ω: corr. Porson[1] 137 σὺ δ' Portus[1]: οὐδ' Ω: εὖ δ' Kirchhoff[2]: σοῦ δ' (cf. Sept. 31; Hsch. σοῦ· ἴθι, τρέχε, ὅρμα) Musgrave τωι Heath 138 κατισχαίνουσα Ω: corr. Rob., Turn. 142 ἰδώμεθ' Turn.: εἰδώμεθ' Ω: εἰδῶμεν (Cho. 890) Blaydes[6] 143 πυπάξ τ: πύπαξ M: fort. πυππάξ, cf. Pl. Euthyd. 303 a ubi πυπ(π)άξ et πύπ(π)αξ codd., et ὑπερπυππάζειν 144 πονοῦσα West[7]: παθοῦσα Ω: καμοῦσα Heyse 145 δυσακὲς Lindau 1203: -αχὲσ M: -αχθὲς τ

ἐξ ἀρκύων πέπτωκεν, οἴχεται δ' ὁ θήρ·
ὕπνωι κρατηθεῖσ' ἄγραν ὤλεσα.

ἰὼ παῖ Διός· ant. 1
ἐπίκλοπος πέληι,
150 νέος δὲ γραίας δαίμονας καθιππάσω,
τὸν ἱκέταν σέβων, ἄθεον ἄνδρα καὶ
τοκεῦσιν πικρόν·
τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός.
τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;

155 ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολόν str. 2
ἔτυψεν δίκαν διφρηλάτου
μεσολαβεῖ κέντρωι
ὑπὸ φρένας, ὑπὸ λοβόν·
πάρεστι μαστίκτορος
160 δαΐου δαμίου
βαρύ τι περίβαρυ κρύος ἔχειν.

τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοί, ant. 2
κρατοῦντες τὸ πᾶν δίκας πλέον
φονολιβῆ θρόνον
165 περὶ πόδα, περὶ κάρα·

147 θ' Abresch II 17 149 ἰὼ ἰὼ T, quo recepto possis παῖ Δῖ' ἐπίπλοκος F[ss], -πλοσκος E 156 ἔτυψα F fort. διφρηλάτα (cf. Ag. 1486) 157 fort. μεσοδακεῖ 161 τι Wakefield[3] (cf. Sept. 834): τὸ Ω: τὸ βαρὺ π. Merkel[1]: β. π. τὸ Wil.[13] πέρι· βαρὺ τ 163 δίκας πέρα Heimsoeth[1] 103 cl. Hsch. πέρα· πλέον, κτλ. 164 sq. constructio obscura φονολειβῆ Ω: corr. D'Arnaud 251 θρᾶνον Ahrens[3]: θᾶκον Rauchenstein[1] 22: θρόμβον Wakefield[3]

πάρεστι γᾶς ὀμφαλόν
προσδρακεῖν αἱμάτων
βλοσυρὸν ἀρόμενον ἄγος ἔχειν.

ἐφεστίωι δὲ μάντις ὢ⟨ν⟩ μιάσματι — str. 3
170 μυχὸν ἐχράνατ' αὐτόσσυτος αὐτόκλητος,
παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ Μοίρας φθίσας.

κἀμοί τε λυπρός, καὶ τὸν οὐκ ἐκλύσεται· — ant. 3
175 ὑπὸ δὲ γᾶν φυγὼν οὔποτ' ἐλευθεροῦται,
ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάραι
μιάστορ' †ἐκείνου† πάσεται.

ΑΠ. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
180 χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν,
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν
χρυσηλάτου θώμιγγος ἐξορμώμενον

166 γᾶς τ' Wil.[19] (post πλέον 163 cum Σ interpungens, non post κάρα) **167** προσδρακῆσ M^{a} **168** αἱρόμενον M (-ρού- M^{s}?): αἱρόμενον *τ*: corr. Abresch II 18 **169** μάντις ὢν Schütz[2]: μάντι σῶ *Ω* (σῶι M^{s}): μαντικὸν Stanley[1] cl. 180 **170** μυκὸν M, σὸν οἶκον *τ*: corr. Rob., Turn. ἔχρανά τ' M: ἐχθράνατ' *τ* **172** παρανόμον M^{c}: παρανόμων M^{a}, παρὰ νόμων *τ* βρέτεα *τ* **174** ἐμοί τε Hermann[32]: κἀμοί γε Portus[1] **175** δὲ Heyse: τε *Ω* φυγὼν Porson[1] (nol. Pauw): φεύγων *Ω* **177** ὢν δ' Porson[1]: δ' ὢν *Ω*: ὢν Wakefield[3] ἐν] αὖ Blaydes[2] cl. Eur. Med. 1371 **178** ἕτερον μιάστορα λήψεται καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν Σ ἐκ κείνου Wellauer[2]: ἔκγονον Zakas: ἔκ γ' ἐμοῦ Newman[2] 7 (ἐξ ἐμοῦ Scholefield): εἶσιν οὗ Kirchhoff[2]: possis ἀντὶ τοῦ πά⟦υ⟧σεται M: πάσσεται G T F: πράσσεται E et sch. metr. ad 141 in G^{a} F E **181** fort. ἀργεστὴν

ἀνῆις ὑπ' ἄλγους μέλανα πλευμόνων ἀφρόν,
ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
185 οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει,
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμωρύχοι
δίκαι σφαγαί τε, σπέρματός τ' ἀποφθορᾶι
παίδων κακοῦται χλοῦνις, ἠδ' ἀκρωνια⟨ί⟩
λευσμοί τε, καὶ μύζουσιν οἰκτισμὸν πολὺν
190 ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε
οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι; πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς· λέοντος ἄντρον αἱματορρόφου
οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
195 ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι·
ποίμνηι τοιαύτηι δ' οὔτις εὐφιλὴς θεῶν.
ΧΟ. ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέληι,
200 ἀλλ' εἷς τὸ πᾶν ἔπραξας ὡς παναίτιος.

188 (ἀκρ.) Hsch. α 2643, Phot. α 860, Synag. AB 372.2, Et. Sym. = M. 53.42 (236.30, 239.6 L.-L.)

---

183 πλευμόνων Lobel[1] (πνευμόνων iam L. Schmidt[0]), cf. Sept. 61: ἀπ'ἀνθρώπων (compendiose ἀνῶν M) *Ω* (gl. ad ἀφείλκυσας u. v., cf. Σ) 185 malim οὐ σοὶ 186 οὐκαρανηστῆρεσ M: οὐκ ἆρ ἀνῆστῆρες *τ*: corr. Turn. (οὗ), Stanley[1], cf. Σ 187 ἀποφθορᾶι Musgrave: -ραὶ *Ω*: -ρά Bothe[2] 188 ἤδ' Σ[uv] ἀκρωνίαι Murray[1] (-ιαί West, cf. Schwyzer Gramm. I 469): ἀκρωνία Σ*Ω* testes (-ιά Blass[9]) 189 λευσμόν *Ω*: corr. Aur.[3]/ Portus[1] 190 ὑπὸρράχιν M (` postea deleto): ὑπόρραχιν *τ* (ὑπὸ ῥάχιν E[a]?, Arsenius) 191 ἑορτῆς *Ω* ἀποπτύστου Blaydes[2] 195 πλησίοισ M: πλουσίοισι Pauw 197 ποίμνηι τοιαύτηι Blaydes[6]: ποίμνης τοιαύτης *Ω* 200 εἷς Portus[1], Canter: εἰς *Ω*: ἄλλοις, τὸ πᾶν ⟨δ'⟩ Burges[9] ὡς] ὢν Wakefield[3]

ΑΠ. πῶς δή; τοσοῦτο⟨ν⟩ μῆκος ἔκτεινον λόγου.
ΧΟ. ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν;
ΑΠ. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι· τί μήν;
ΧΟ. κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου;
205 ΑΠ. καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.
ΧΟ. καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς;
ΑΠ. οὐ γὰρ δόμοισι τοῖσδε πρόσφοροι μολεῖν.
ΧΟ. ἀλλ' ἔστιν ἥμιν τοῦτο προστεταγμένον –
ΑΠ. τίς ἥδε τιμή; κόμπασον γέρας καλόν.
210 ΧΟ. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.
ΑΠ. τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσηι;
⟨ΧΟ.⟩ οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος.
ΑΠ. ἦ κάρτ' ἄτιμα καὶ παρ' οὐδὲν ἠργάσω
Ἥρας τελείας καὶ Διὸς πιστώματα·
215 Κύπρις δ' ἄτιμος τῶιδ' ἀπέρριπται λόγωι,
ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος
ὅρκου'στὶ μείζων, τῆι δίκηι φρουρουμένη.

201 δὴ τοσοῦτο M (-τον Arsenius): δῆτα τοῦτο *τ* 202 et 204 interrogationis signa add. Arsenius 203 ἔχρησ' ἀποινὰς E πέμψαι (cf. Soph. Ph. 1266)] πέμψας Heath: πρᾶξαι Aur.[3] 204 δ'ἕκτωρ *Ω*: corr. M^{s} (οἶμαι δέκτωρ), cf. Σ. 207 πρόσφορον *Ω*: corr. Bourdelot 208 ἡμῖν *Ω* 211 τί Σ M^{s}: τίς M^{a} *τ* γυναῖκας (εἴ τις) Paley[5] νοσφίσει *τ* (E^{c}) 212 choro trib. Rob., Turn.: nulla nota in codd. ὅμευνος Blaydes[6], at cf. 605 αὐθέντις $G^{ss}F^{ss}E^{ss}$ 213 Apollini trib. Rob., Turn.: paragr. M, nulla nota in *τ*. cf. ad 221 ἠργάσω Rutherford (εἰργ- iam Wordsworth[0]): ἠρκέσω *Ω* 215 τ' Blaydes[2] 216 γίνεται *Ω*: corr. Porson[1] 217 μόρσιμος T et ss. GFE: -μοι MGFE 218 ὅρκους τί $G^{t}F^{t}E^{ss}$?, ὅρκους τε $G^{ss}TF^{ss}E^{t}$

εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς
220 τὸ μὴ τίνεσθαι μηδ' ἐποπτεύειν κότωι,
οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν·
τὰ μὲν γὰρ οἶδα κάρτά σ' ἐνθυμουμένην,
τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαίτερα.
δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.
225 ΧΟ. τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.
ΑΠ. σὺ δ' οὖν δίωκε καὶ πόνον πλείω τίθου.
ΧΟ. τιμὰς σὺ μὴ ξύντεμνε τὰς ἐμὰς λόγωι.
ΑΠ. οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.
ΧΟ. μέγας γὰρ ἔμπας πὰρ Διὸς θρόνοις λέγηι.
230 ἐγὼ δ', ἄγει γὰρ αἷμα μητρῷιον, δίκας
μέτειμι τόνδε φῶτα κἀκκυνηγέσω.
ΑΠ. ἐγὼ δ' ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι·
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει
τοῦ προστροπαίου μῆνις, εἰ προδῶι σφ' ἑκών.

—

219 ἢ *Ω*: corr. Canter 220 τίνεσθαι (cf. Soph. O.C. 994) Meineke[1] 226: γενέσθαι *Ω*: μέλεσθαι Aur.[3]: μήτ' ὄνοσθαι μήτ' Headlam[8] 200 ἐποπτεύεις Doederlein[2] 8 221 Apollinis notam praebent codd. σ' Rob., Turn.: γ' M: om. *τ*: γ' ἐνδίκως ⟨σ'⟩ Merkel[1] ἐν δίκαις GFE 222 οἶδα M: οὔτοι *τ* 223 ἡσυχαίτερα Linwood[2]: -τέραν Σ*Ω*: -τερον Wecklein[11] 224 δ'ἐπάλλας M, δ'ἐπ'ἄλλας *τ*: corr. Sophianus ἐποπτεύει *τ* 225 λείπω *Ω*: corr. Askew[2] 226 πλέω Aur.[3], 'quod πλείω dicendum fuisset' Dind.[13] 290: πλέον *Ω* τίθει G[ss]TF[ss] 227 ξύν- Wakefield[3]: σύν- *Ω* 230 ἄγειν M μητρώων M δίκης GFE: δίκῃ G[ss]TF[ss] 231 κἀκκυνηγέσω Powell cl. Soph. Ichn. 50.81: κἀκκυνηγέτης *Ω* (γ'ὡς κυνηγέτης T): nempe τησ suprascriptum fuerat ut intelligeretur -γετήσω 232 ἄρ'ήξω GT[ss]FE 234 ἣν προδῶι Davies, ὃς πρ. Weil[6], εἰ πρ. Barnett: εἰ προδῶ *Ω*

235 ΟΡ. ἄνασσ' Ἀθάνα, Λοξίου κελεύμασιν
ἥκω· δέχου δὲ πρευμενῶς ἀλάστορα,
οὐ προστρόπαιον οὐδ' ἀφοίβαντον χέρα,
ἀλλ' ἀμβλὺν ἤδη προστετριμμένον τε πρὸς
ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.
240 ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,
σώιζων ἐφετμὰς Λοξίου χρηστηρίους,
πρόσειμι δῶμα καὶ βρέτας τὸ σὸν θεά·
αὐτοῦ φυλάσσων ἀναμενῶ τέλος δίκης.

ΧΟ. εἶέν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ·
245 ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς·
τετραυματισμένον γὰρ ὡς κύων νεβρόν
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν.
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾶι
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
250 ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν
ἦλθον διώκουσ' οὐδὲν ὑστέρα νεώς.
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακών·

236 (πρευμ. –) Epimer. Hom. AO I 62.12 (v. Radt ad fr. 92a)
252 (καταπτ.) Hsch. corrupte καταπλακών κ 1336

235 κελεύμασιν TE[a]: κελεύσμασιν MG(-σι)FE[c] 236 ἀλάστορον Nauck ad fr. 92 ed. suae ex An. Ox.: ἀλήτορα Taplin 379 n.0 238 ἀμβλὺν ... -μένον ΣΩ: ἀμβλὺς ... -μένος Prien[2] 572 239 fort. προθύμασιν βοτῶν (cf. 452; βοτῶν Herwerden[1] 106) 241 σώζων τ' τ: δ' Portus[2] 242 πάρειμι Podlecki[2] 243 ante h.v. fort. deest versus καὐτοῦ Schütz[6]: καὔτ' εὖ Blaydes[6] φυλάσσων ⟨δ'⟩ Dawe[4] ἀναμενῶ Bourdelot (ἀμμενῶ Dind.[4]): ἀναμένω Ω 244 ἐμφανὲς (Cho. 667) Blomf.[14] ad Pers. 404 245 μ̣ηνυτῆρος M: μηνυτῆ et spat. vac. GF, -τῆσιν T, -τῆ*** E 246 νεκρὸν Ω: corr. Vict. 247 ἐκματεύομεν Dind.[4] 248 μεγαλοκμῆσιν Σ, unde ἁδροκμῆσιν Wieseler[2] 133 250 πόντου T ποτήμασιν Portus[2]: πωτ- Ω

ὀσμὴ βροτείων αἱμάτων με προσγελᾶι.

255 — ὅρα ὅρα μάλ' αὖ· λεῦσσε τό⟨πο⟩ν πάνται,
μὴ λάθηι φύγδα βὰς {ὁ} ματροφόνος ἀτίτας.
ὅδ' †αὖτε γοῦν† ἀλκὰν ἔχων
περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου
260 ὑπόδικος θέλει γενέσθαι χρεῶν.
τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷιον χαμαί
δυσαγκόμιστον, παπαῖ·
τὸ διερὸν πέδοι χύμενον οἴχεται.
ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν
265 ἐρυθρὸν ἐκ μελέ͜ων πελανόν, ἀπὸ δὲ σοῦ
βοσκὰν φεροίμαν πώματος δυσπότου·
καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω,

260 cf. Hsch. (Cyr.) υ 610 264–6 resp. sch. T Il. 19.87 b u. v. (cf. Radt ad fr. dub. 459)

---

255 λεῦσσε τόπον West[7]: λεύσσε τον (τ in rasura ampliore) M, λεῦσσε τὸν *t* (λεύσσετον T[c]) πάντᾶι M[s]: πάντα M *t* 256 sq. μὴ hic codd., non in fine 255 φυγάδα M[as] ὁ del. Hermann[5] ἀτίτας Σ M: ἀτίμας *t* 258 ὃ δ' et γ'οὖν M αὐτὸς (cf. Ar. Ach. 280) οὐκ Aur.[3], sine οὐκ Stanley[2]: αὖτε γουν⟨ὸν ζάθεον ὡς⟩ Wecklein[11] (ἱρὸν pro ζ. Herwerden[8] 93) 259 θεᾶς ἀμβρ. π. βρ. πλ. Murray[1] propter hiatum περιβλέπει πλαγχθεὶς *t* (πλαχθεὶς G[a]) 260 ἀπόδικος Margoliouth[1] 41 χρεῶν E[a], Scal.[2] ex Σ ἀνθ' ὧν ἡμῖν χρεωστεῖ: χερῶν *Ω* 261 post χαμαί interpunxit Hermann[5] (δυσαγκ. – οἴχεται), cf. Σ 263 b 262 -κόμιστρον M[a] *t* πεσόν Blaydes[6]: πάλιν Wakefield[3] 263 διερὸν Σ M: δ'ἱερὸν *t* πέδοι Dind.[4] ad Prom. 749: πέδωι M, -ω *t* κεχυμένον *Ω*: corr. Porson[1] 265 πέλανον *t* 266 βασκὰν φεροίμην *t*: φεροίμαν βοσκὰν Wellauer[2]: β. φ. ⟨ἐγὼ⟩ Weil[6] πόματος *t* 267 ἰχνάνασ' M, ἰσχάνασ' *t*: corr. Turn.

ἀντίποιν' ὡς τίνῃς ματροφόνου δύας.
ὄψῃ δὲ κεἴ τις ἄλλος ἤλιτεν βροτῶν
270 ἢ θεὸν ἢ ξένον
τιν' ἀσεβῶν ἢ τοκέας φίλους,
ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια.
μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν
ἔνερθε χθονός,
275 δελτογράφωι δὲ πάντ' ἐπωπᾶι φρενί.

ΟΡ. ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι
†πολλοὺς καθαρμούς,† καὶ λέγειν ὅπου δίκη
σιγᾶν θ' ὁμοίως· ἐν δὲ τῶιδε πράγματι
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου.
280 βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερός,
μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει,
ποταίνιον γὰρ ὂν πρὸς ἑστίαι θεοῦ
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος,
285 ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίαι·

275 cf. Hsch. ε 5588 276–8 cf. Enn. Eum. 146 sq. Jocelyn
285 cf. Clem. Paed. 2.1.10.2

---

268 ἀντίποιν' ὡς Schütz[2]: ἀντιποίνους Ω: ⟨ἵν'⟩ ἀντιποίνους anon.[1] (ἵνα supra τίνῃς T) τείνῃσ (ει supra ῃ) M (ss. M[s]) μητροφόνου Portus[2]: -φόνας Ω: -φόντας Pauw: -φόνος Bothe[1] 269 ὄψει Ω: corr. Wil.[13] δ'ἐκεῖ τίς Ω: corr. Porson[1] ἄλλον Ω: corr. Arsenius 270 ξένων Wecklein[11] 271 ἀσεβῶν ⟨ἑκὼν⟩ Mazon 275 ἐποπτᾶ τῇ τ 277 ita et Σ alter: πολλῶν τε καιροὺς Blass[9] (praeeuntibus Herwerden[5] 164, Heyse), cf. Σ alterum ἐπίσταμαι καὶ σιγᾶν καὶ λαλεῖν … ἑκατέρου καιρὸν γινώσκων 280 κἀκμαραίνεται Richards[0] 281 -κτόνου Aur.[3]

χρόνος καθαίρει πάντα γηράσκων ὁμοῦ.
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν ἐμοί
μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορός
290 αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεών
πιστὸν δικαίως εἰς τὸ πᾶν τε σύμμαχον.
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικῆς
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα
295 φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα
θρασὺς ταγοῦχος ὣς ἀνὴρ ἐπισκοπεῖ,
ἔλθοι – κλύει δὲ καὶ πρόσωθεν ὢν θεός –
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.
ΧΟ. οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος
300 ῥύσαιτ' ἂν ὥστε μὴ‿οὐ παρημελημένον
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
ἀναίματον βόσκημα δαιμόνων σκιά⟨ν⟩.
οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους,
ἐμοὶ τραφεὶς τε καὶ καθιερωμένος;
305 καὶ ζῶν με δαίσεις οὐδὲ πρὸς βωμῶι σφαγείς·
ὕμνον δ' ἀκούσηι τόνδε δέσμιον σέθεν.

292–3 confuse Tz. in Lyc. 519

---

286 del. Musgrave: post 279 trai. Hermann[28] 56 καθαιρεῖ *Ω*: corr. Portus[3] γηράσκων M: διδάσκων *τ* (γε praeposuit Tricl.: GTF^{c}E). nempe διδάσκει adscripserat aliquis ex Prom. 981 **290** ἀργείων GE **292** Λιβυστικῆς Aur.[3]/Portus[2]: -κοῖς *Ω* Tz. (v.l. τόπωι Λιβυστικῶι) **293** σπόρου Tz. **298** τῶνδε μοι T **299** οὔτοί M^{c}: οὔτις M^{a} *τ* (οὔτι E) ἀθηναίας M, -αίης T: -αίοις *τ* **302** ἐναίματον Σ^{γρ} σκιά Σ*Ω*: corr. Heath **303** ἀλλ' M: οὐδ' *τ* **306** ὕπνον FE δ' om. *τ* (ὕμνων ἀ. τῶνδε δεσμίων T) ἄκουσον Naber[3]

— ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεὶ μοῦσαν στυγερὰν
ἀποφαίνεσθαι δεδόκηκεν
310 λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους
ὡς ἐπινωμᾶι στάσις ἁμή.
εὐθυδίκαιοι δ' οἰόμεθ' εἶναι·
τοὺς μὲν καθαρὰς ⟨καθαρῶς⟩ χεῖρας προνέμοντας
οὔτις ἐφέρπει μῆνις ἀφ' ἡμῶν,
315 ἀσινὴς δ' αἰῶνα διοιχνεῖ·
ὅστις δ' ἀλιτὼν ὥσπερ ὅδ' ἀνὴρ
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν παραγιγνόμεναι
320 πράκτορες αἵματος αὐτῶι τελέως ἐφάνημεν.

μᾶτερ ἅ μ' ἔτικτες, ὦ str. 1
μᾶτερ Νύξ, ἀλαοῖσι καὶ δεδορκόσιν ποινάν,
κλῦθ'· ὁ Λατοῦς γὰρ Ἶνίς μ' ἄτιμον τίθησιν
325 τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῶιον ἅγ-
νισμα κύριον φόνου.

319 cf. Hsch. π 3193

309 δεδόκηκεν ΣΜ: -ημεν τ 311 ἁμά Aur.[3], Canter (ἁμή Dind.[0]): ἅμα *Ω* 312 εὐθυδίκαιοι (cf. 994) Hermann[28] 63: -δίκαι *Ω* δ' Portus[2], οἰόμεθ' εἶναι Ahrens[4] 301: θ'οἰδ'οίμεθ' εἶναι M: τ' οἶδ' οἶμαι θεῖναι τ: δ' εὐχόμεθ' εἶναι anon.[1] 313 ⟨καθαρῶς⟩ Hermann l.c.: τὸν μὲν καθ. χ. προνέμοντ' Musgrave, sed illi favet codicum colometria (τοὺς μὲν καθαρὰς pro monometro). ad singularem in 315 cf. 339 προσνέμοντασ M 314 οὔτις ἀφ' ἡμῶν μ. ἐφέρπει *Ω*: trai. Porson[1] propter hiatum 315 ἀσινῆ Blaydes[2] 344 cl. Cho. 1018 316 ἀλιτρῶν *Ω*: corr. Aur.[3] ἀνὴρ *Ω*: corr. Wakefield[3] 319 παραγινόμεναι *Ω*: corr. Porson[1] 322 ἀλαοῖσιν M, -οῖς τ: corr. Arsenius: ἀμαυροῖσι Weil[11] 127 ποινάν – τίθησιν om. τ 326 πτάκα (Ag. 137) M, πτᾶκα M[s] τ: corr. Sophianus

ἔπι δὲ τῶι τεθυμένωι — ephymn.
τόδε μέλος, παρακοπά,
330 παραφορά, φρενοδαλὴς
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρ-
μιγκτος, αὑονὰ βροτοῖς.

τοῦτο γὰρ λάχος διαν- — ant. 1
335 ταία Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν· θνατῶν
τοῖσιν αὐτουργίαι ξυμπαγῶσιν μάταιοι,
τοῖς ὁμαρτεῖν, ὄφρ' ἂν γᾶν ὑπέλθηι· θανὼν δ'
340 οὐκ ἄγαν ἐλεύθερος.

ἔπι δὲ τῶι τεθυμένωι — ephymn.
τόδε μέλος, παρακοπά,
παραφορά, φρενοδαλὴς
ὕμνος ἐξ Ἐρινύων,
345 δέσμιος φρενῶν, ἀφόρ-
μιγκτος, αὑονὰ βροτοῖς.

328 ἔπι Hirst: ἐπὶ *Ω* τῶ τότε θυμουμένω *τ* 329 μένος *τ* 330 παράφρονα M[a] *τ* φρενόδα[.]ισ M[a]: φρενοδαὴς ci. M[s]: -δακὴς Burges[9] 331 et 344 ἐξ Σ*Ω*: fort. ἆιξ' (et 328 ἐπὶ) 333 et 346 ἀφόρμιγκτος Burges[7] 350, cf. praef.: -ικτος *Ω* αὑονὰ M, αὔονα *τ*: corr. Blaydes[6] 334 διανταῖον Blaydes[6] (contra Σ) 335 θανάτων *Ω*: corr. Canter 336 τοὶ σὺν Meineke[3] 223 αὐτουργίαις *Ω*: corr. Turn. 337 ξυμπαγῶσιν (cf. 495. Cho. 67) West[7]: ξύμπασ ωσιν M, ξύμπας ὦσι(ν) *τ*: ξυμπέσωσιν Turn.: -πλέωσιν Latte: -παρῶσιν Weyrauch[2] 8: -πνέωσιν Zakas 338 τοῖσιν *τ* 339 ὑπέλθοι *τ* 340 ἄγαν γ' T 341 τῶ τότε θυμουμένω GE, τῷ τε θυμουμένῳ T 343 παράφρονα *Ω* (cf. ad 330) φρενόδαλησ M[a] 344 ὕμνοισ M

γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη, str. 2
350 ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τίς ἐστι
ξυνδα⟨ί⟩τωρ μετάκοινος·
παλλεύκων δὲ πέπλων †ἄμοιρος† ἄκληρος ἐτύχθην
353a ⟨– ∪ – × – ∪ –⟩

δωμάτων γὰρ εἱλόμαν mesod. 1
355 ἀνατροπάς· ὅταν Ἄρης
τιθασὸς ὢν φίλον ἕλῃ,
ἐπὶ τόν, ὤ, διόμεναι
κρατερὸν ὄνθ' †ὁμοίως
μαυροῦμεν ὑφ' αἵματος νέου†.

360 σπευδόμενος δ' ἀφελεῖν τινα τᾶσδε μερίμνας, ant. 2
θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν,

347 sq. γιν- τ: γειν- Hermann[32]. cf. quae ad Hes. Th. 82 adnotavi τάδε φαμὶ κεκράνθαι Wil.[13] ἁμῖν Ω: corr. Heath 349 sq. δ' om. G, del. Hermann[32] χεῖρας GFE: γέρας Evers ap. O. Müller[2] 351 συνδάτωρ Ω: corr. Turn. (ξυν- Wakefield[3]) 352 sq. ἀπόμοιρος O. Müller[2]: πανάμοιρος Rauchenstein[1] 25: ἄμορος καὶ Davies: ἀνέορτος Franz cl. Σ: (πέπλων δ') ἀγέραστος ἄμοιρος Hermann[28] 68: ἄκληρος ἄμοιρος Drake post h. v. lac. stat. Wil.[13]: ⟨εὐφρόνων θ' ὁμιλιᾶν⟩ e.g. Schroeder[1] (sine θ'), Groeneboom[7]: cf. tamen ad 368–71 354 δομάτων Ω: corr. T 356 πίθασοσ M, πίθασσος τ: corr. Mc (τίθασος), Pearson[1] (οἰκεῖος, φίλος Σ) ὃν Aur.[3] φίλος Ω: corr. Turn. (Σ) 357 ἐπιτόνως Turn. ὧδ' ἱέμεναι E. A. J. Ahrens ὢ τ, ὦ M (alterutrum Σ) 358 ὁμοῖα Bork ap. Wil.[19] cl. 240: ὅμως Schütz[6] (ὁμῶς D'Arnaud 254): sin ad 375 respondere debet (cf. ad 368–71), e.g. ὁμοδίκως 359 ὑφ' M: ἐφ' τ: διὰ τὸ νέον αἷμα Σ: ἀφ' Schoemann[1] 207: del Weil[5] 203 αἵματος εὔνιν Davies (κενόν Dawe[1] 187) sensus et metrum dubium 360 sq. σπευδόμενος δ' Wil.[13]: σπευδόμεναι δ' fere Ω (-μενα δ' M[a]): σπεύδομεν αἵδ' Doederlein[2] 9 τάσδε τ

μηδ' εἰς ἄγκρισιν ἐλθεῖν,
365 Ζεὺς αἱμοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας
ἇς ἀπηξιώσατο.

δόξαι δ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναί — str. 3
τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
370 ἁμετέραις ἐφόδοις μελανείμοσιν
ὀρχησμοῖς τ' ἐπιφ⟨θ⟩όνοις ποδός.

μάλα γὰρ οὖν ἁλομένα — mesod. 2
ἀνέκαθεν βαρυπετῆ
καταφέρω ποδὸς ἀκμάν –
375 σφαλερὰ ⟨καὶ⟩ τανυδρόμοις
κῶλα – δύσφορον ἄταν.

πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμαι· — ant. 3
τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσους πεπόταται,

371 cf. Hsch. ο 1376

362–4 λείπει εὔχομαι. ⟨εὔχομαι⟩ τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν Σ longius a vero errans 364 ἐς *Ω*: corr. Pauw ἔγκρισιν *τ* 365 sq. ζεὺσ M[s]: ζεῦ M *τ*, post quod γὰρ habet M, δ' ci. Linwood[2] αἱμοσταγὲς Bothe[1]: αἱματοσταγὲς *Ω* ἀξιομισὲς nol. Blass[9] post 367 mesodum (354–9) iteravit G.C.W. Schneider 368–71 post 380 trai. M. Schmidt[1] 477 (post 376 iam Heath), ut 360–7 + 372–6 ad 347–59 respondeant sine lacuna post 353 368 δ' Paley[1]: τ' *Ω* 369 γᾶς Hermann[32] 370 ἡμετέραις *Ω*: corr. Dind.[5] 371 ὀρχησμοῖσί Burges[9] ἐπιφθόνοις Heath: -φόνοις *Ω*: -φόβοις Wakefield[3] 372 ἀλ⟦λ⟧ομένα M: ἀλωμένα T: ἀλαμένα Blaydes[2] (cf. ad Pers. 516) 373 ἀνέκαθεν Pearson: ἄγκαθεν *Ω* βαρυπεσῆ *Ω*: corr. Blaydes[2] 344 375 ⟨καὶ⟩ Heath, cf. Σ: τ. ⟨ὅμως⟩ Weil[5] 207 377 πταίων ... πόδ' Burges[9] λύσσαι Portus[1] 378 τοῖον γὰρ ἐπὶ *Ω*: corr. Heath μύσους Paley[4]: μύσος (vel μῦσος) Σ *Ω*

καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος
380 αὐδᾶται πολύστονος φάτις.

μέλει γάρ, εὐμήχανοι str. 4
δὲ καὶ τέλειοι, κακῶν
τε μνάμονες, σεμναί
καὶ δυσπαρήγοροι βροτοῖς,
385 {ἄτιμα} ἀτίετα διόμεναι λάχη
θεῶν διχοστατοῦντ' ἀναλίωι λάπαι,
†δυσοδοπαίπαλα† δερκομένοισι
καὶ δυσομμάτοις ὁμῶς.

τίς οὖν τάδ' οὐχ ἅζεταί ant. 4
390 τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμόν
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔπι δέ μοι
γέρας παλαιόν, οὐδ' ἀτιμίας κυρῶ,
395 καίπερ ὑπὸ χθόνα τάξιν ἔχουσα
καὶ δυσάλιον κνέφας.

380 πολύστομος (cf. Nonn. D. 18.1, 26.275) Musgrave post h. v. mesodum (372–6) iteravit G. C. W. Schneider 381 μέλει (cf. Sept. 287) Dobree[3] 29/25: μένει Ω (haud simile Ag. 1563): μόναι Heath 382 τε anon.[1] 383 μνήμονες Ω: corr. Dind.[12] (cf. Ag. 155) τε σεμναὶ GFE 384 καὶ et 392 τὸν del. Headlam[4] 321 δυσπαράγωγοι T: δυσπαράγοροι (cf. Soph. El. 229) Dind.[12] 385 ἄτιμ' del. Headlam l. c. ἀτίετα Canter: ἀτίεται M, -τον τ διόμεναι (357)] διέπομεν Heath cl. 931 386 ἀνηλίω Ω: corr. Dind.[4] (cf. Sept. 859) λάπαι Wieseler[1] 76: λαμπαι M, λαμπαὶ τ 387 δυσοπαίπαλα τ: δύσβατα παίπαλα Oberdick[0], alia alii; si δύσοδα glossema fuit, possis ἢ πολυπαίπαλα 389 οὐ χάζεταί Ω: corr. Turn. 391 κλυὼν Untersteiner 392 μοιρόκραντον ΣMτ[c] (G[ss]TF[ss]E[ss]): μυρό- τ 393 ἔπι ΣΩ: ἔτι Hermann[32] 395 τάξιν γ' τ ut fiat trimeter 396 δυσήλιον Ω: corr. Dind.[4] (cf. ad 386)

ΑΘΗΝΑ

πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν
ἀπὸ Σκαμάνδρου, γῆν καταφθατουμένη,
ἣν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
400 τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοί,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος.
405 {πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.}
καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς
ταρβῶ μὲν οὐδέν, θαῦμα δ' ὄμμασιν πάρα.
τίνες ποτ' ἐστέ; πᾶσι δ' εἰς κοινὸν λέγω,
βρέτας τε τοὐμὸν τῶιδ' ἐφημένωι ξένωι
409a ⟨ὑμῖν τε· τόνδε μὲν γὰρ ἐν ξένοις λέγω,⟩
410 ὑμᾶς δ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ' ἐν θεᾶσι πρὸς θεῶν ὁρωμέναις,
οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασιν·
λέγειν δ' ἄμομφον ὄντα τοὺς πέλας κακῶς,
πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.

398 (καταφθ.) Hsch. κ 1487

398 τὴν καταφθατουμένην Ω (sed -μένη Σ): corr. Stanley[1] 402 τέκνοις τ 404 aut 405 eiciendum esse susp. Paley[4], 405 damn. Wil.[7] 154 n. 63; v. etiam Taplin 389 sq. 403–4 ~ 250–1 405 πνόοις Weil[6], πνοαῖς id.[15] 406 καινὴν Canter: καὶ νῦν (cf. 252) Ω δ' om. E 409 ξένωι M: στένω τ lac. stat. et ex. gr. suppl. West[7] 410 ὑμῖν θ' ὁμοίαις Portus[2] δ' Linwood[2]: θ' Ω (σ' F[a]) ὁμοίασ M: ὁμοίως τ: ὁμοιοῦσ' Musgrave: ὁμοιῶ δ' Harberton[1]: ὁμοῖαι δ' … ὁρώμεναι Page[3] 411 θεαῖσι Ω (-οῖσι E) 413 ἄμομφον Rob.: ἄμορφον ΣΩ τοῦ τ: τὸν Aur.[3] 414 ἠδ' M: ἢδ' F. cf. Sept. 682 τοῦδε

415 ΧΟ. πεύσηι τὰ πάντα ξυντόμως, Διὸς κόρη.
ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆ τέκνα,
Ἀραὶ δ' ἐν οἴκοις γῆς ὕπαὶ κεκλήμεθα.
ΑΘ. γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους.
ΧΟ. τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσηι τάχα.
420 ΑΘ. μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.
ΧΟ. βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.
ΑΘ. καὶ τῶι κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;
ΧΟ. ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.
ΑΘ. ἦ καὶ τοιαύτας τῶιδ' ἐπιρροιζεῖς φυγάς;
425 ΧΟ. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.
ΑΘ. ἀδμὴς ἀνάγκης, ἤ τινος τρέων κότον;
ΧΟ. ποῦ γὰρ τοσοῦτο⟨ν⟩ κέντρον ὡς μητροκτονεῖν;
ΑΘ. δυοῖν παρόντοιν ἥμισυς λόγου πάρα.
ΧΟ. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλει.
430 ΑΘ. κλυεῖν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.
ΧΟ. πῶς δή; δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένηι.

416 (N. –) Tz. in Lyc. 406 **424** cf. Hsch. ε 5129 **426** Σ ad 465

---

415 ξυν- Dind.[4]: συν- *Ω* **416** fort. μέν αἰανῆ Σ M: αἰανῆς *τ* Tz. **417** ἀρὰ M **421** βροτο- G ex corr.: αὐτο- Davies: μητρο- (μ̄ρ̄ο-) nol. Headlam[19] (cf. 210) **422** ποῦ τὸ D'Arnaud 255: τοῦτο *Ω* φυγῆς Aur.[3]/Portus[2]: σφαγῆς *Ω* **424** ἐπιρροιζεῖς Portus[1] (ἐπιβοᾶις, ἐπιβάλλεις Σ): -ρροιζεῖ⟦ν⟧ M, -ρροιζεῖν *τ*: -ρρύζεις Blaydes[2]: possis et -ρροιβδεῖς cl. Eur. Herc. 860 et Hsch. ῥοιβδεῖ· ῥοιζεῖ etc. **426** ἀδμὴς West[7]: ἄλλης *Ω*, Σ 465 a: ἄλλαις ἀνάγκαις Bothe[1]: ἁλοὺς ἀνάγκαις Naber[2] 99: ἀλλ' ἐξ ἀνάγκης F. W. Schmidt 101 (ἀλλ' ἢ'ξ Blass[9]) ἤ *τ*: οὔ M, Σ 465 τίνος G **427** τοσοῦτο *Ω*: corr. Arsenius **428** παρόντων *τ* (ω ex .. F) λόγος *τ* **429** θέλοι Schütz[2] **430** κλύειν *Ω*: corr. Wil.[19] δικαίως (cf. Ag. 1244. Cho. 434. Eur. Andr. 1053) M[ss] *τ*: -ουσ M[t] sed ου i. r.: δίκαιος Dind.[4], δικαία Wieseler[2] 135: δίκαια Blaydes[2] 345 **431** σαφῶν T[ss] πέλη *τ*

ΑΘ. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.
ΧΟ. ἀλλ' ἐξέλεγχε· κρῖνε δ' εὐθεῖαν δίκην.
ΑΘ. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;
435 ΧΟ. πῶς δ' οὔ, σεβούσηι γ' ἄξι' ἀντ' ἐπαξίων;
ΑΘ. τί πρὸς τάδ' εἰπεῖν ὦ ξέν' ἐν μέρει θέλεις;
λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφοράς
τὰς σάς, ἔπειτα τῶνδ' ἀμυνάθου ψόγον,
εἴπερ πεποιθὼς τῆι δίκηι βρέτας τόδε
440 ἧσαι φυλάσσων ἑστίας ἁμῆς πέλας
σεμνὸς προσίκτωρ ἐν τρόποις Ἰξίονος.
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.
ΟΡ. ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
445 οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχων μύσος
πρὸς χειρὶ τἠμῆι τὸ σὸν ἐφεζόμην βρέτας·
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα.
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
450 σφαγαὶ καθαιμάξωσι ν⟨ε⟩οθηλοῦ⟨ς⟩ βοτοῦ·
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι, καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.

432 τὰ μὴ ΣM: τὰ μὲν *τ* 434 πρέποιτ' *τ* 435 σεβούσηι anon.[3]: σέβουσαι M: σέβομαί *τ* (σέβοιμέν *τ*[c]: G[ss] T F[ss] E[ss]) ἄξι' ἀντ' Hermann[5]: ἀξίαν τ' *Ω*: ἀξίαν σ' Wakefield[3] ἐπ'ἀξίων GTE: κἀπ' ἀξίων Portus[2] propter Σ ἀξίων οὖσαν γονέων, sed hic puto nihil aliud legit quam codd. 438 τόνδ' MT ἀμυναθοῦ Elmsley[5] ad Med. 186, at v. praef. LI 440 ἁμῆσ M: ἐμῆς *τ* 441 ἐν in spat. vac. vi–vii litt. add. M[s]: an μὴ ἐν? cf. 443 sqq. Ixion nondum purgatus Iovi supplicavit (Σ, cf. fr. 93) 445 sq. ἔχει μύσος ... ἐφεζομένη *Ω*: corr. Wieseler[2] 135 448 ἄφωνον *τ* 449 προσαρδμοῖς Weil[6] 450 -ξουσιν οθηλοῦ M (-θήλου M[c]), -ξουσιν ὀθνείου *τ*: corr. Turn. (νεοθήλου), Abresch II 67 βροτοῦ *τ* 451 ἀφωσιώμεθα Blaydes[6] 146 452 βροτοῖσι GFE

ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω·
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσηι τάχα.
455 Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα,
ξὺν ὧι σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
εἰς οἶκον, ἀλλά νιν κελαινόφρων ἐμὴ
460 μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν
κρύψασ', ἃ λουτρῶν ἐξεμαρτύρει φόνον.
κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποινῆσι φιλτάτου πατρός.
465 καὶ τῶνδε κοινῆι Λοξίας μεταίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίαι,
εἰ μή τι τῶνδ' ἔρξοιμι τοὺς ἐπαιτίους.
σὺ δ' εἰ δικαίως εἴτε μή, κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῆι τάδ' αἰνέσω.
470 ΑΘ. τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτου⟨ς⟩ δίκας,

467 cf. Enn. Eum. 144 J.

457 Τρώιαν Bothe[2]: Τρώων Headlam[19]: πρώην Meineke[3] 224 458 ἔφθηθ' *τ* οὗτωσ M 461 κρύψασα *Ω*: dist. Musgrave cl. Cho. 1010 λουτρὸν δ' *τ*: λουτρῶν Steph. 464 ποιναῖσι *Ω* 465 μεταίτιος (199) Weil[6]: ἐπαίτιος (467) *Ω* 467 ἔρξοιμι Headlam[21], cf. Pers. 369. Soph. Ai. 313. Ph. 376: ἔρξαιμι *Ω* 468 δ' Portus[2]: τ' *Ω* 469 τὰ σ' F. W. Schmidt 102 470 ἤ Portus[2]: εἴ Σ*Ω* 471 βροτὸς ΣM[s]*τ*: -οῖσ M[a]: -οὺς Herwerden[5] 156 472 φόνους *Ω*: corr. Rob. possis 471 διαιρεῖν (cf. 488.630), hic φόνους δικάζειν (cf. 483. Supp. 230–1) ὀξυμηνίτους Aur.[3]/Portus[2], cf. Σ ἐφ' οἷς (αἷς Linwood[2]) ταχέως μηνίσουσιν ἐρινύες et 480 sq.: -ίτου *Ω*

ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς νόμωι
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις,
475 ὁμῶς δ' ἄμομφον ὄντά σ' αἰδοῦμαι πόληι,
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,
χώραι μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδοι πεσὼν ἄφερτος αἰανὴς νόσος.
480 τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν
πέμπειν τε, †δυσπήματ'† ἀμηνίτως ἐμοί.
ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἀπέσκηψεν τόδε,
φόνων δικαστάς, ὁρκίων αἰδουμένους
θεσμόν, τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον,
⟨. . . . .⟩

473 (κατ.) Hsch. κ 1787

---

473 νόμωι Dind.[4], cf. 448.576 ci.: ὅμως *Ω* (sed νόμ- E^{a}): ἐμοῖς vel ἐμός Pauw 474 ἵκτης Meineke[3] 224 δρόμοις *τ*, corr. Tricl. (G^{ss} T F^{ss} $E^{γρ}$) 475 ὁμῶς (τ') Pearson: ὅμως *Ω*: ἐμοῖς, ἄμομφον δ' Linwood[2] cl. 577 αἰδοῦμαι Hermann[32]: αἱροῦμαι *Ω* (αἰρ- FE) πόλει *Ω* 476 οὔκουν εὔπεπλον *τ* εὐπέμφελον Bothe[2] 478 χῶραι *Ω*: corr. Wellauer[2], cf. 720.787 479 πέδοι Dind.[4] ad Prom. 749: πέδω *Ω* αἰανὴ *τ* 481 τε Bourdelot: δὲ *Ω*: δὲ δὴ T F^{ss} E^{ss} δυσπήμαντ' Scal.[2]: δυσποίμαντ' Portus[1]: δυσσήμαντ' Tyrwhitt[1] 17 (δυσσήματ' Steph.): δυσπάλαμν' Hartung: δυσπόνητ' Wecklein[11]: δυσχερῆ'στ' Blaydes[2] ἀμηνίτως $Σ^{uv}$ (πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί), Tyrwhitt l.c.: ἀμηχάνως *Ω* (-ων E): fuerat fort. v.l. antiqua ἀπημάντως 482 ἐπέσκηψεν M^{c} G^{ss} F^{ss} E 483 αἰδουμένους (cf. 680.710[vl]) Conington[1]: αἱρ- *Ω* lac. post 484 West[7], post 482 Weil[6], post 483 Hermann[32], post 483 δικαστάς Linwood[2]

489 ὅρκον περῶντας μηδὲν ἐκδίκοις φρεσίν.
485 ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ', ἀρωγὰ τῆς δίκης ὁρκώματα·
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
ἥξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως.

490 ΧΟ. νῦν καταστροφαὶ νέων — str. 1
θεσμίων, εἰ κρατή-
σει δίκα, δίκας βλάβα,
τοῦδε μητροκτόνου.
πάντας ἤδη τόδ' ἔργον εὐχερεί-
495 αι ξυναρμόσει βροτούς,
πολλὰ δ' ἔτυμα παιδότρωτα
πάθεα προσμένει τοκεῦ-
σιν μεταῦθις ἐν χρόνωι.

οὔτε γὰρ βροτοσκόπων — ant. 1
500 μαινάδων τῶνδ' ἐφέρ-
ψει κότος τις ἐργμάτων·
πάντ' ἐφήσω μόρον·

489 post 488 M: post 485 τ: post 484 Srebrny 52: post 487 Wecklein[11]: in lac. post 483 Wil.[19], post 482 Murray[1]: ut supra West ὅρκων M[a] πορόντας Hermann[28] 81 ex Σ ὅρκον διδόντας μηδέν' Turn. (μηδ' ἐν) ἐκδίκοις Musgrave: ἔκδικον M: ἔνδικον τ φρενί τ: φράσαι Aur.[3]: φράσειν Markland[1] ad Supp. 112 **486** κώ i.r. M: ὀρθώματα Pauw: θ'ὁρκώματα nol. idem **490** μεταστροφαὶ Meineke[3] 224: ἐμῶν κατ- Weil[6] **492** (δίκᾱι) δίκας Todt[0]: καὶ *Ω*: τε καὶ Heath **493** ματρ- Ellendt **494** εὐχερίαι M, εὐχαρία τ: corr. Turn. **495** ξυν- Wakefield[3]: συν- *Ω* **496** ἔτυμα M: ἕτοιμα Portus[2] (quod δ' non patietur) **497** προσμενεῖ (cf. Call. Hy. 5.120) anon.[1]: προσνεμεῖ Weil[6] **499** οὔτι Portus[3]: οὐδὲ Elmsley[0] πὰρ Sidgwick[4] **501** τιν' Weil[6], at cf. 314.889 **502** ἀφήσω Raymond ap. Burges[9]

⟨σ⟩πεύσεται δ' ἄλλος ἄλλοθεν, προφω-
  νῶν τὰ τῶν πέλας κακά,
505 λῆξιν ὑπόδυσίν τε μόχθων,
  ἄκεά τ' οὐ βέβαια τέμ-
  νων {δέ τις} μάταν παρηγορεῖ⟨ν⟩.

μηδέ τις κικλησκέτω — str. 2
ξυμφορᾶι τετυμμένος
510 τοῦτ' ἔπος θροούμενος,
"ὦ Δίκα",
"ὦ θρόνοι" τ' "Ἐρινύων".
ταῦτά τις τάχ' ἂν πατὴρ
ἢ τεκοῦσα νεοπαθὴς
515 οἶκτον οἰκτίσαιτ', ἐπει-
  δὴ πίτνει δόμος Δίκας.

ἔσθ' ὅπου τὸ δεινὸν εὖ, — ant. 2
καὶ φρενῶν ἐπίσκοπον
δεῖμ' ἄνω καθήμενον·
520 ξυμφέρει
σωφρονεῖν ὑπὸ στένει.

503 σπεύσεται Wecklein[13]: πεύσεται ΣΩ τ' Hartung 505 ὑπόδυσίν τ (-δησιν FE), ὑπὸδυσιν M[a]: ὑπόδοσίν M[c]: διαδοχήν expl. Σ (sc. ὑποδοχήν [Paley[4]]? an ἐπίδοσίν [Wieseler[1] 108]?) 506 ἄκεστ' τ: ἄκετ' M: corr. Bourdelot (ἄκη τ'), Schütz[2/3] (δ' pro τ' Schwenck) τέμνων Blaydes[6]: τλάμων ΣΩ 507 δέ del. Schwenck, τις Pauw, tanquam ex Σ illata παρηγορεῖν West[7]: -ρεῖ ΣΩ 511 sq. ὦ … ὦ Pauw: ἰὼ … ἰὼ Ω. cf. ad 785 516 πιτνεῖ Ω: corr. Elmsley[4] ad Hcld. 77 518 ἐπίσκοτον Murray[1] 519 δεῖμ' Heath, ἄνω West[7]: δειμαίνει Ω: δεῖ μένειν anon.[3], Scal.[2] 521 στέγει Wakefield[3]

τίς δὲ μηδὲν ἐν φάει
καρδίας δέος τρέφων –
ἢ πόλις, βροτός θ' ὁμοί-
525 ως – ἔτ' ἂν σέβοι Δίκαν;

μήτ' ἄναρκτον βίον — str. 3
μήτε δεσποτούμενον
αἰνέσῃς·
530 παντὶ μέσωι τὸ κράτος θεὸς ὤπασεν,
ἄλλ' ἄλλαι δ' ἐφορεύει.
ξύμμετρον δ' ἔπος λέγω·
δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως,
535 ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσιν φίλος
καὶ πολύευκτος ὄλβος.

εἰς τὸ πᾶν {δέ} σοι λέγω· — ant. 3
βωμὸν αἴδεσαι Δίκας,
540 μηδέ νιν
κέρδος ἰδὼν ἀθέωι ποδὶ λὰξ ἀτί-
σῃς, ποινὰ γὰρ ἐπέσται·
κύριον μένει τέλος.

522 φάει ΣΩ (somnia dicit, cf. 103 sq. Ag. 179): φόβωι Schütz[3]: βάθει Burges[9] 523 καρδίας Canter et fort. Σ (λαμπρότητι, ὀρθότητι φρενῶν): καρδίαν Ω δέος τρέφων (cf. Soph. Tr. 28) L. Campbell[1]: ἀνατρέφων Ω: ἀνὴρ τρέμων Murray[1] (τρέμων iam Weil[6], τρέων Schoemann[1]) 524 βροτὸς πόλις θ' Rose 525 σέβ^{οι}ει M 526 ἀνάρκητον τ (-ετον T): ἀνάρχετον Wieseler[1] 112, cf. ad 538. ἄναρχον habes 696 527 δεσποτούμενόν γ' T^c 529 ἅπαντι Ω: corr. T 533 δυσσεβείας Ω: corr. T 536 πᾶσι Ω: corr. Heath 538 δέ del. Lachmann[1] 44 (nol. Pauw) τοι Asul. 542 ἀντίσῃς τ (ἀντήσῃς T) 543 ἕπεται τ

545 πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστω.

550 ἑκὼν δ' ἀνάγκας ἄτερ δίκαιος ὢν — str. 4
οὐκ ἄνολβος ἔσται·
πανώλεθρος ⟨δ'⟩ οὔποτ' ἂν γένοιτο.
τὸν ἀντίτολμον δέ φαμι, παρβάδαν
τὰ πόλλ' ⟨ἄγοντ⟩α παντόφυρτ' ἄνευ δίκας
555 βιαίως, ξὺν χρόνωι καθήσειν
λαῖφος, ὅταν λάβηι πόνος,
θραυομένας κεραίας.

καλεῖ δ' ἀκούοντας οὐδὲν ⟨ἐν⟩ μέσαι — ant. 4
δυσπαλεῖ τε δίναι·
560 γελᾶι δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῶι,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις
δύαις λαπαδνὸν οὐδ' ὑπερθέοντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
ἕρματι προσβαλὼν Δίκας
565 ὤλετ' ἄκλαυτος αἶστος.

557 cf. Hsch. κ 2246

---

545 τις] τοι Butler 548 δωμάτων ἐπιστροφὰς (Sept. 648) Ω: corr. Heath 549 αἰδούμενός GFE 550 ἑκὼν δ' Wieseler[1] 113: ἐκ τῶνδ' Ω 552 ⟨δ'⟩ Pauw 553 παρβάδαν nol. Blomf.[2] 177: περβάδαν τ: περαιβάδαν M: παραβεβηκότα expl. Σ 554 ἄγοντα hic suppl. Mazon, post παντόφυρτ' Pauw: ⟨ἄγον⟩τα πολλὰ O. Müller[2] δίκης M 558 ⟨ἐν⟩ Heath 559 δυσπαλεῖται Ω· (δυσπλαν- E): corr. Turn. 560 θερμῷ T: θερμοεργῶ(ι) M T[gl] F E, θυμοεργῶ G 561 ἀμαχάνοις Dind.[4], at v. Björck 178 sq. 562 λαπαδνὸν Musgrave: λέπαδνον Σ Ω 565 ἄκλαυστος Ω: corr. Dind.[12] ἄϊστος Ω: corr. Pauw

ΑΘ. κήρῡσσε κήρῡξ, καὶ στρατὸν κατειργάθου,
ἥ τ' †οὖν† διάτορος Τυρσηνική
σάλπιγξ βροτείου πνεύματος πληρουμένη
ὑπέρτονον γήρυμα φαινέτω στρατῶι·
570 πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμούς
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον
καὶ τῶνδ' ὅπως ἂν εὖ καταγνωσθῆι δίκη.
ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει·
575 τί τοῦδε σοὶ μέτεστι πράγματος λέγε.
ΑΠ. καὶ μαρτυρήσων ἦλθον – ἔστι γὰρ νόμωι
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν, φόνου δὲ τῶιδ' ἐγὼ καθάρσιος –
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
580 τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως ⟨τ'⟩ ἐπίστᾱι τήνδε κύρωσον δίκην.
ΑΘ. ὑμῶν ὁ μῦθος – εἰσάγω δὲ τὴν δίκην –
ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.

566 κῆρυξ M[a] κατεργάθου *Ω*: corr. Wakefield[3]: κατείργαθε Blomf.[15] 567 ἥ ss. M[s]: εἴτ' M *τ*: εἶτ' (Jacob[1]) οὐρανοῦ (Askew[1] 9) διάτ. ἡ Wakefield[3]: εἶθ' ἡ δ. οὐρανοῦ Paley[2]: εἶτ' (malim ἥ τ') οὐρανόνδε δ. Tournier διάκτορος *τ*, post quod lac. stat. Tricl. et πέλει ci. (ita TE in textu: in G spat. litt. fere ix, in F spat. litt. v cum sch. λείπει et mg. πέλει) 568 πληρουμένου M[a] 569 φαίνεται M[a] 573 τῶνδ' Σ*τ*: τόνδ' ME: τῶιδ' Voss: τούσδ' Hermann[28] 86 διαγνωσθῆι (cf. 709) Paley[4] fort. -γνωθῆι, v. praef. δίκηι M[s] v. ad 681–710 574 sq. Minervae continuat Wieseler[0] et u. v. Σ 574 b: choro trib. codd. 576 νόμωι Erfurdt[3]: δόμων *Ω* (δημ- M[a] u. v.) 577 ἵκτης H. Wolf ἀνὴρ *Ω*: corr. Wakefield[3] ἐφέστιῶσ (ο ss.) M: -ίων *τ* 578 τῶιδ' (cf. 63) Paley[4]: τοῦδ' *Ω* 579 αὑτός Elmsley[5] ad Med. 155 580 τοῦδε φόνου *Ω*: corr. Turn. 581 ⟨τ'⟩ Hermann[5] **582–644 om. *τ***

585 ΧΟ. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.
ΟΡ. ἔκτεινα· τούτου γ' οὔτις ἄρνησις πέλει.
ΧΟ. ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.
590 ΟΡ. οὐ κειμένωι πω τόνδε κομπάζεις λόγον.
ΧΟ. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.
ΟΡ. λέγω· ξιφουλκῶι χειρὶ πρὸς δέρην τεμών.
ΧΟ. πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασιν;
ΟΡ. τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.
595 ΧΟ. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;
ΟΡ. καὶ δεῦρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι.
ΧΟ. ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.
ΟΡ. πέποιθ'· ἀρωγὰς δ' ἐκ τάφου πέμπει πατήρ.
ΧΟ. νεκροῖσί νυν πέπισθι μητέρα κτανών.
600 ΟΡ. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν.
ΧΟ. πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.
ΟΡ. ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.
ΧΟ. τοιγὰρ σὺ μὲν ζῆις, ἣ δ' ἐλευθέρα φόνωι;
ΟΡ. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῆι;
605 ΧΟ. οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.
ΟΡ. ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;
ΧΟ. πῶς γάρ σ' ἔθρεψεν ἐντὸς ὦ μιαιφόνε
ζώνης; ἀπεύχηι μητρὸς αἷμα φίλτατον;

587 κατέκτανες Elmsley[5] ad Med. 774 588 γ' (cf. Pers. 738. Ag. 368. Eur. Hel. 579) Nauck[8] 194: δ' M 592 λέξω Mc 593 δὲ πεισθεὶς Burges[9] possis ἢ τίνος 596 ἀεὶ M: corr. Turn. 598 πέμψει Scal.[2] ex Σ 599 νῦν M: corr. Stanley[2] πέπισθι Veitch 208: πέπεισθι M 600 δοιοῖν M[a] μιασμάτοιν Elmsley[5] ad Med. 798, cf. ad Ag. 1384: -άτων M 603 τί γάρ; Hermann[32] φόνωι Schütz[2]: φόνου M 'itaque tu vivere vis, cum illa non nisi per caedem libera evaserit?' 607 οὐ γάρ Schütz[2] 608 φιλτάτου M[as]

ΟΡ. ἤδη σὺ μαρτύρησον, ἐξηγοῦ δέ μοι,
610 Ἄπολλον, εἴ σφε ξὺν δίκηι κατέκτανον.
δρᾶσαι γάρ, ὥσπέρ ἐστιν, οὐκ ἀρνούμεθα·
ἀλλ' εἰ δικαίως εἴτε μὴ τῆι σῆι φρενί
δοκεῖ τόδ' αἷμα κρῖνον, ὡς τούτοις φράσω.
ΑΠ. λέξω πρὸς ὑμᾶς, τόνδ' Ἀθηναίας μέγαν
615 θεσμόν, δικαίως, μάντις ὢν δ' οὐ ψεύσομαι.
οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
οὐκ ἀνδρός, οὐ γυναικός, οὐ πόλεως πέρι,
ὃ μὴ κελεύσαι Ζεὺς Ὀλυμπίων πατήρ.
τὸ μὲν δίκαιον τοῦθ' ὅσον σθένει μαθεῖν,
620 βουλῆι πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρός·
ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.
ΧΟ. Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασε
φράζειν Ὀρέστηι τῶιδε, τὸν πατρὸς φόνον
πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν;
625 ΑΠ. οὐ γάρ τι ταὐτὸν ἄνδρα γενναῖον θανεῖν
διοσδότοις σκήπτροισι τιμαλφούμενον,
καὶ ταῦτα πρὸς γυναικός, οὔ τι θουρίοις
τόξοις ἑκηβόλοισιν ὥστ' Ἀμαζόνος,
ἀλλ' ὡς ἀκούσηι, Παλλάς, οἵ τ' ἐφήμενοι
630 ψήφωι διαιρεῖν τοῦδε πράγματος πέρι.

620 cf. Hsch. π 2401

610 ξὺν Porson[1]: σὺν M 611 ὥσπέρ sic M 612 δίκαιον Aur.[3] cf. 468.615 613 δοκῶ Herwerden[5] 157 τὸ δή μοι Weil[6] 615 ἑσμόν Burges[9] δ'ὢν M: corr. Canter 618 κελεύσαι Hermann[28] 89: κελεύσει M: κελεύοι Wecklein[13] 619 μάθε (657) Blaydes[2] 348, at iudices pluraliter compellandum erat 620 βουλῆι Σ unus, M[a]: βουλή (vocativum) alter, M[c] ὔμμ' M 621 vel Ὅρκος (Hes. Th. 231. Op. 804) οὔτις Doederlein[3] ad O.C. 1757 623 τῶιδε τὸν M[s]: τῶ τοῦ M 626 τιμαλφουμένοισ M[a]

ἀπὸ στρατείας γάρ νιν, ἠμποληκότα
τὰ πλεῖστ' ἄμεινον, εὔφροσιν δεδεγμένη
632a ⟨λόγοις . . . .⟩
δροίτηι περῶντι λουτρά, κἀπὶ τέρματι
φάρος περεσκήνωσεν, ἐν δ' ἀτέρμονι
635 κόπτει πεδήσασ' ἄνδρα δαιδάλωι πέπλωι.
ἀνδρὸς μὲν ὕμιν οὗτος εἴρηται μόρος
τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν·
†ταύτην τοιαύτην† εἶπον, ὡς δηχθῆι λεώς
ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.
640 ΧΟ. πατρὸς προτιμᾶι Ζεὺς μόρον τῶι σῶι λόγωι·
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον·
πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;
ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.
ΑΠ. ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν,
645 πέδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος,
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος·
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσηι κόνις

647–8 Tz. Hist. 8.223–4, Epist. p. 56.4 L.

---

631 στρατεΐᾶσ M μιν M: corr. Porson[1] 632 ἀμείνον' Σ M[s] lac. stat. Schütz[2] et λόγοισι supplevit: ⟨λόγοις, παρίστατ' ἀργυρᾶι θελκτήρια⟩ Wil.[13]: ⟨λόγοις, παρέστη θέρμ' ἐν ἀργυρηλάτωι⟩ Headlam[13] 290 633 δροίτηι Σ: -τη M 634 φάρος M[a]: φᾶρος M[c] περεσκήνωσεν M (περὲσκ-), Σ, cf. Ag. 1147: παρεσκ- scholii interpretamentum u. v. (-ησεν) et Mf: περισκ- Pauw (-ησεν), Blaydes[2] 348: κατεσκ- Headlam[6] 248 cl. Cho. 999 636 ὑμῖν M 638 haec defendens Wil.[8] ad Herc. 681 mihi non persuadet: fort. (μόρος· ...) ἄτην τοιαύτην (anon.[1]) vel ταύτην τελευτὴν (Butler): τὴν δ' αὖ τοιαύτην Weil[6]: ante h. v. ⟨τὴν δ' αὖ γυναῖκα τὴν κατάπτυστον θεοῖς⟩ Headlam[19] δειχθῆ M[a] 641 ἔδεισε M[a] 644 κνώδαλ', ὦ Hilberg 229 **645 denuo incipit τ** πέδαι ... λυθεῖεν Weil[15] 647 ἀνασπάσει τ

ἅπαξ θανόντος, οὔτις ἐστ' ἀνάστασις.
τούτων ἐπωιδὰς οὐκ ἐποίησεν πατὴρ
650 οὑμός, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
στρέφων τίθησιν οὐδὲν ἀσθμαίνων μένει.
ΧΟ. πῶς †γὰρ τὸ φεύγειν† τοῦδ' ὑπερδικεῖς ὅρα·
τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδοι
ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
655 ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
ποία δὲ χέρνιψ φρατέρων προσδέξεται;
ΑΠ. καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου
τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·
660 τίκτει δ' ὁ θρώισκων, ἡ δ' ἅπερ ξένωι ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψηι θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου·
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,
⟨οὐ . . . .⟩
665 οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
666a ἀλλ' οἷον ἔρνος ⟨αὐτὸς ἀντέλλει⟩ θεός·
666b ⟨ἄνευ δὲ πατρὸς⟩ οὔτις ἂν τέκοι ⟨γυνή⟩.

648 οὐκέτ' Tz. 650 τε om. M 651 κοὐδὲν T[1] (cf. [Aesch.] fr. 99.3. Xenoph. B 26.1; contra Sept. 393. Eum. 840) οὐδ' ἐν ἀσθμαίνω M 652 τἀποφεύγειν Dittenberger: malim τοῦτο φεύγων τόνδ' Burges[9] (nol. Pauw) 653 πέδοι Dind.[4] ad Prom. 749: πέδω(ι) Ω 656 προσδέξαιτε M 658 κεκλημένου M 660 θρώισκων Wecklein[11]: θρώσκων Ω 661 ἔσωθεν G 662 λόγου] μέγα (447) Wecklein[11] 663 γείναιτ' Wieseler[1] 128 ex Σ γεννήσειεν 665 ante h. v. lac. stat. Butler (⟨οὐ κοινολέκτροις ἐν γάμοις ἐσπαρμένη⟩ Headlam[14] 242) οὐκ pro οὐδ' Wakefield[3]: tradita haesitanter def. Denniston[3] 583 et ap. Thomson[4] 666 ἀλλ' οἷον (ἀλλοῖον M) ἔρνος οὔτις ἂν τέκοι θεός fere Ω: θεά Weil[15], post h. v. idem[6] ⟨ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν⟩ (= Eur. Or. 554): ut supra West[7]

ἐγὼ δὲ, Παλλάς, τἄλλά θ' ὡς ἐπίσταμαι
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον
670 ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου
καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά,
καὶ τοὺς ἔπειτα, καὶ τάδ' αἰανῶς μένοι,
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.
ΑΘ. ἤδη κελεύ⟨σ⟩ω τούσδ' ἀπὸ γνώμης φέρειν
675 ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων;
ΧΟ. ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος,
μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.
ΑΘ. τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;
ΑΠ. ἠκούσαθ' ὧν ἠκούσατ'· ἐν δὲ καρδίαι
680 ψῆφον φέροντες ὅρκον αἰδεῖσθε ξένοι.
ΑΘ. κλύοιτ' ἂν ἤδη θεσμόν, Ἀττικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῶι
αἰεὶ δικαστῶν τοῦτο βουλευτήριον·
685 πάγον δ † Ἄρειον† τόνδ', Ἀμαζόνων ἕδραν

685–90 resp. Et. G. = M. 139.7, Gud. auct. I 190.15 de Stef.

---

670 χρόνον M[as] 673 τ'ἄπιστα M 674 κελεύσω Rob.: κελεύω *Ω* τάσδ' G[ss] T F[ss] 675 δικαίας Blomf.[15] interrogationis signum add. Kirchhoff[2] 676 sq. choro trib. *Ω*: Apollini Weil[16], Winnington-Ingram[1] 679 sq. Apollini trib. Karsten 155: choro *Ω* (et Weil, W.-I.) 679 ὧν M: ὡς *τ* 680 αἰδεῖσθαι[ε] M 681–718 om. E 681–710 post 573 locare iussit Kirchhoff[2]; cf. Taplin 396 sqq. 681 ἀστικὸς Hermann[32], cf. 997[vl] etiamque 708.775 682 κρίναντες *τ* 683 ἔστω Weil[0] possis κἀς (cf. 708. Pers. 526, contra Eum. 763.1031) αἰγέωι M 684 δικαστῶν Canter: δ'ἑκάστων M: δ'ἑκάστω *τ*: ἀδέκαστον αἰεὶ Blaydes[6] (ἀδέκ. iam Pauw; cf. 704) 685 ἔνειμα vel ἑδοῦνται Weil[6]: ἑδεῖται Wecklein[13]: ἄρ' ἕξει Blass[9]

σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόληι νεόπτολιν
τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε,
Ἄρει δ' ἔθυον, ἔνθεν ἐστ' ἐπώνυμος
690 πέτρα πάγος τ' Ἄρειος. ἐν δὲ τῶι σέβας
ἀστῶν φόβος τε ξυγγενὴς τὸ μὴ ἀδικεῖν
σχήσει τόδ', ἦμαρ καὶ κατ' εὐφρόνην δμῶς,
αὐτῶν πολιτῶν μὴ †'πικαινόντων† νόμους
κακαῖς ἐπιρροῆσι· βορβόρωι δ' ὕδωρ
695 λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν.
τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν·
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
700 τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας
ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ' ἄν, οἷον οὔτις ἀνθρώπων ἔχει,
οὔτ' ἐν Σκύθησιν οὔτε Πέλοπος ἐν τόποις.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,

694 (βορβ. –) –5 Diogenian. 3.55, Zenob. vulg. 2.76, Sud. β 392

687 πόλει Orelli[1] 380: πόλιν *Ω* πόλει νεοπτόλει Blass[9] 688 τῆνδ' M: τὴν *τ*: τῆιδ' Paley[1] ἀντ. πόλει Weil[6] 691 ἀστοὺς Aur.[3] ξυγ- Porson[1]: συγ- *Ω* 692 τό,δ' (?) M[c]: τό τ' Grotius 39: κατ' Kidd, cf. Soph. El. 259 ὅμως *Ω* (ὁμῶς T) 693 'πιβαινόντων T: 'πικαινούντων Steph.: τι καινούντων Wieseler[1] 135 (νόμοις), Blaydes[2] 349: 'πιχραινόντων Wakefield[3]: πικραινόντων Valckenaer[0]: τι κινούντων Zakas -όντωνόμουσ M[as] 694 κακαῖς ⟨δ'⟩ Schütz[6] ἐπιρροαῖσι *Ω* hic interpungunt codd., et βορβόρωι incipiunt paroemiographi δ' Portus[2]: θ' *Ω*: om. paroem. 696 τὸ μὴ δ' Hermann[28] 93 ἄναρκτον (526[vl]. Soph. fr. 30) Pearson μήτε Mc 697 ἀστοὺς περιστέλλουσα Voss (-ουσα iam Heath) σέθεν M[as] 700 τοιόνδέ sic GTF 702 οὔποτ' *τ* 703 σκύθισιν M, -ησιν *τ* (-αισιν T)

705 αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν· ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην
710 αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.
ΧΟ. καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονός
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.
ΑΠ. κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διός
ταρβεῖν κελεύω μηδ' ἀκαρπώτους κτίσαι.
715 ΧΟ. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκέθ' ἁγνὰ μαντεύσηι νέμων.
ΑΠ. ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;
ΧΟ. λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
720 βαρεῖα χώραι τῆιδ' ὁμιλήσω πάλιν.
ΑΠ. ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
ΧΟ. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
725 ΑΠ. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;

723–4 + 727–8 sch. Eur. Alc. 12

---

706 ἐγρήγορον *τ* 710 αἰδουμένοισ M: αἱρουμένοις *τ*: corr. Canter 713 κἀγώ τε fere *Ω*: corr. Rob. 716 μαντεύει (debuit -ηι) Davies μένων *Ω*: corr. Hermann[5]. μαντεῖα aedes, non responsa. cf. 170 717 τις G T[a] F σφήλεται *τ* 718 προτροπαῖς *τ* 719–22 post 730 trai. Merkel 719 redit E 725 οὔκουν Mc: οὐκοῦν *Ω*

ΧΟ. σύ τοι παλαιὰς διανομὰς καταφθίσας
οἴνωι παρηπάφησας ἀρχαίας θεάς.
ΑΠ. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος
730 ἐμῆι τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.
ΧΟ. ἐπεὶ καθιππάζηι με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόληι.
ΑΘ. ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
735 ψῆφον δ' Ὀρέστηι τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτίς ἐστιν ἥ μ' ἐγείνατο,
τὸ δ' ἄρσεν αἰνῶ πάντα (πλὴν γάμου τυχεῖν)
ἅπαντι θυμῶι, κάρτα δ' εἰμὶ τοῦ πατρός·
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
740 ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον·
νικᾶι δ' Ὀρέστης κἂν ἰσόψηφον κριθῆι.
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους,
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
ΟΡ. ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
745 ΧΟ. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾶις τάδε;
⟨ΟΡ.⟩ νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν.
⟨ΧΟ.⟩ ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.

727 οὕτω sch. Eur. διανομὰς sch. Eur.: δαίμονας Ω: δαιμονὰς Maas[4], cf. Alcm. 65 728 παρηπάφησας Davies: παρηπάτησας Ω sch. Eur. 731 καθιππάζει FE νέοισ M[a?] 732 μενῶ Herwerden[6] 57 733 ἀμφίβουλος F: -βολος ΣΩ πόλει Ω 734 δίκην] η ex α M[1]: an -ας? 736 οὔτίσ ἐστιν sic MGT 737 τὰ δ' ἄρσεν' Portus[2] 738 τ' Blaydes[2] 349 741 Ὀρέστης] fort. ὁ φεύγων, cf. Σ 735 νικᾶι ὁ κατηγορούμενος, 741 ὁ κατηγορούμενος νικᾶι ἰσόψηφον West[7]: -ος Ω 746 Oresti redd. Abresch II 105 νῦν Στ: ναῦ M 747 δ' ἄρ' Schütz[6]: δέ γ' Burges[9]

ΑΠ. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων ξένοι,
τὸ μὴ ἀδικεῖν σέβοντες ἐν διαιρέσει.
750 γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα,
†βαλοῦσά τ' οἶκον† ψῆφος ὤρθωσεν μία.
ΑΘ. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην·
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.
ΟΡ. ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους·
755 καὶ γῆς πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ
"Ἀργεῖος ἀνὴρ αὖθις, ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις", Παλλάδος καὶ Λοξίου
ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
760 Σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
σῴζει με, μητρὸς τάσδε συνδίκους ὁρῶν.
ἐγὼ δὲ χώραι τῆιδε καὶ τῶι σῶι στρατῶι
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους,
765 μήτοί τιν' ἄρη δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δορί.

752 cf. Enn. Eum. 145 J.

748–51 paragr. in M, nulla nota in τ: Apollini trib. Vict.: Oresti Wieseler[1] 151 (748–9 Or. iam Wellauer[2]) 750 γνώμης δ' ΣΩ: μιᾶς δ' Blaydes[6]: μόνης γ' Heyse δ'] τ' Madvig 205: om. Musgrave γίνεται Ω: corr. Porson[1] μέγα] μιᾶς F. W. Schmidt 103 751 βαλοῦσα ΣΩ: μολοῦσα Blass[9]: πολλοῖσι Headlam[6] 249: παροῦσα Voss: βάλοι τ' ἂν ... ὀρθοῖ τ' ἂν Hartung δ' Portus[2] ⟨κἄπεμ⟩βαλοῦσα τ⟨όνδε τοῖς νικηφόροις | σῴζω νιν·⟩ versu post 753 traiecto Cornford 752 ἀνὴρ Hartung ὅγ' M 755 καὶ γῆς] γαίας Dind.[4]: στέγης Merkel[1] 757 ἀνὴρ Ω: corr. Wakefield[3] 759 τρίτον τ 760 ὃς MT: ὃν τ 761 ὁρῶν] στυγῶν Weil[6]: ἑλὼν Blaydes[2] 765 sq. ἄρη ... δορί West[7]: ἄνδρα ... δόρυ Ω

αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
ἀμηχάνοισι φάρξομεν δυσπραξίαις
770 ὁδούς, ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέληι πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν αἰεὶ τήνδε συμμάχωι δορί
αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
775 καὶ χαῖρε, καὶ σὺ καὶ πολισσοῦχος λεώς·
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
σωτήριόν τε καὶ δορὸς νικηφόρον.

ΧΟ. ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους — str. 1
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου·
780 ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
ἐν γᾶι τᾶιδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ μεθεῖσα καρδίας,
σταλαγμὸν χθόνι⟨ον⟩ ἄφορον· ἐκ δὲ τοῦ

768 παραβαίνουσι M[a]: προβ- FE -ουσιν εὐορκώματα Blaydes[6] praeeunte Hartung 769 ἀμηχάνοισ M φράξομεν Heath (φάρξ- Rose): πράξομεν ΣΩ 771 μεταμέλει G[ss], -οι F[ss]E[t] πόνου Butler 772 ὀρθουμένοις T 773 ἀεὶ M 774 αὐτοί σφιν anon. ap. Verrall[10]: καὐτοί γ' ἂν ... εἶμεν Hermann[32] 776 ἔχων Wecklein[13]: malim ἔχεις: ἔχοι Portus[2] post 777 Apollinis valedictionem desid. Taplin 406 778–807 **om. r**: causa patet 778–93 = 808–23; cf. vv.ll. ibi relatas 779 possis εἵλεσθ' ἄγραν post h.v. lac. stat. Abresch II 109 (e.g. ⟨τὸν μητροφόντην καὶ γένους μιάστορα⟩ suppl. Wecklein[13]), cf. 153.325 780 ἁ Dind.[4] 783 sq. χθόνιον ἄφορον Hermann[18] 251 (ἄφ. iam Turn.): χθονιαφόρον M (τὸν εἰς τὴν γῆν φερόμενον Σ): χθονὶ σταλαγμόν Thomson[4], Murray[1] (si recte, ἄφορον dele [Dind.[0]] vel ἄφορος post ἄτεκνος scribe [Weil[6]])

785 λειχὴν ἄφυλλος ἄτεκνος, ὦ Δίκα ⟨Δίκα⟩,
πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώραι βαλεῖ.
στενάζω· τί ῥέξω;
γελῶμαι· †δύσοιστα
790 πολίταις ἔπαθον
ἰὼ μεγάλατοι†
κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘ. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν·
795 οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾱι σέθεν,
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
800 ὑμεῖς δὲ ⟨μή⟩τε τῆιδε γῆι βαρὺν κότον
σκήψητε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
τεύξητ' ἀφεῖσαι πλευμόνων σταλάγματα,

787 cf. Hsch. (Cyr.) κ 2503

---

785 λειχὴν Portus[1]: λιχὴν M ὦ Hermann[5]: ἰὼ (778) M. cf. 511 Δίκα iteravit Lachmann[1] 93 787 βοτοφθόρους Wakefield[3] βαλεῖ Turn.: βαλεῖν M 788 στενάξω M (sed -άζω 818) 789 γελῶμαι Tyrwhitt[0] (cf. Soph. Ant. 839. Eur. Cycl. 687): γένωμαι ΣM γελῶμαι πολίταις· δύσοιστ' ἔπαθον ὤ Wunder 27 praeeunte Schoemann[1]: γένωμαι δυσοίστα O. Müller[2] 791 μεγάλατοι cf. Pers. 1016: μεγάλα τοι Vict.: possis μεγάλα τοι ⟨κτίσειεν ἂν ἄχη⟩ vel sim. 794 πείθεσθε M: corr. Turn. 798 δ' M[a] ὁ χρήσας Turn.: ὀχθήσασ M[a] puto: ὁ θήσασ M[c] 800 δέ τε M: ⟨μή⟩τε Wieseler[1] 157: μή τι Hartung 801 σκήψησθε M: corr. Elmsley[5] ad Med. 93 μὴ θυμοῦσθε ante μήτε (800) trai. Weil[6] 802 πλευμόνων (cf. 782. Sept. 61) Musgrave: δαιμόνων M στενάγματα M[syρ]

βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὕμιν πανδίκως ὑπίσχομαι
805 ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονός
λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις
ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.

ΧΟ. ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους — ant. 1
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου·
810 ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
ἐν γᾶι τᾶιδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ μεθεῖσα καρδίας,
σταλαγμὸν χθόνι⟨ον⟩ ἄφορον· ἐκ δὲ τοῦ
815 λειχὴν ἄφυλλος ἄτεκνος, ὦ Δίκα ⟨Δίκα⟩,
πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώραι βαλεῖ.
στενάζω· τί ῥέξω;
γελῶμαι· †δύσοιστα
820 πολίταις ἔπαθον
ἰὼ μεγάλατοι†
κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘ. οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
825 θεαὶ βροτῶν κτίσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;

803 αἰχμὰς Σ M: ἄχνας Musgrave: αὐχμοὺς nol. Scal.[2] 804 ὑμῖν M 805 ἐνδίκους Heath: fort. εὐοίκου 808–23 corruptelas refero, emendationes supra rettuli ad 778–93 808 redit τ 812 ἀντι*παθῆ M, ἀντιπαθῆ τ καρδία τ 813 χθονιαφόρον Ω 815 λιχὴν Ω ἰὼ Ω 816 ἐπεσσύμενος Ω 817 βαλεῖν Ω 819 γένωμαι Ω 825 κτίσητε Linwood[2]: στήσητε Ω δύσκολον E

καὶ κλῆιδας οἶδα δώματος μόνη θεῶν
ἐν ὧι κεραυνός ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπειθὴς ἐμοί
830 γλώσσης ματαίας μὴ'κβάληις ἔπη χθονί
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος,
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδε τἀκροθίνια,
835 θύη πρὸ παίδων καὶ γαμηλίου τέλους,
ἔχουσ' ἐς αἰεί τόνδ' ἐπαινέσεις λόγον.

ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ, str. 2
ἐμὲ παλαιόφρονα, κατά ⟨τε⟩ γᾶν οἰκεῖν
⟨ἵν'⟩ ἀτίετον, φεῦ, μύσος.
840 πνέω τοι μένος
ἅπαντά τε κότον.
οἰοῖ δᾶ φεῦ·
τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα;

827 δώματος Portus[2]: δωμάτων Ω 828 ἐν οἷς T 829 εὐπιθὴς Blomf.[3] 497 830 ἔπη χθονί Burges[9]: ἐπὶ χθόνα Ω 832 κοίμα ΣM: καὶ κῦμα τ λήματος Blaydes[6], at cf. Cho. 183 834 τῆσδέτ' M 835 τέλους M[s]τ: τέλοσ M[a] 836 ἐπαινέσης FE 837–47 = 870–80, cf. vv.ll. ibi relatas 838 τε ex 871 (M) reponitur γᾶς Hermann[18] 370 839 ⟨ἵν'⟩ West[7] ἀτίετον hic = ἀτιμώρητον, cf. Ag. 1279. Cho. 651 possis et ἀτίετον· φεῦ μύσους φεῦ post οἰκεῖν trai. Hermann[5], post μύσος O. Müller[2], post μένος Wellauer[2] μῦσος M ut solet, inde μῖσος Mc 840 μένος] brevis in longo hic vix ferenda: μένος ⟨θ'⟩ Hartung: fere malim πνέω τοι ⟨πνέω⟩ μ. (δ 2cr): πνέω τοι μ., πνέω τοι κότον Wecklein[11]: πνέω τοι μ. πάγκοτον Thomson[4] 841 de οἰοιοῖ cogit. Blass[9], cf. Pers. 955. 967 c. app. φεῦ δᾶ D'Arnaud 259, cf. Eur. Pho. 1296. Ar. Lys. 198: δᾶ φεῦ ⟨φεῦ⟩ Bothe[1] 843 πλευρᾶς ὀδύναι τ (-να T[c?]): πλευράς, ⟨τίς⟩ ὀδύνα Ahrens[7]: ⟨τίς⟩ ὀ. πλ. Hermann[32]

{θυμὸν} ἄϊε μᾶτερ Νύξ·
845 ἀπό με γὰρ τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.

ΑΘ. ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
†καίτοι μὲν† σὺ κάρτ' ἐμοῦ σοφωτέρα,
850 φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα
γῆς τῆσδ' ἐρασθήσεσθε, προυννέπω τάδε·
οὑπιρρέων γὰρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε, καὶ σὺ τιμίαν
855 ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
τεύξηι παρ' ἀνδρῶν καὶ γυναικείων στόλων
†ὅσην† παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.
σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάληις
μήθ' αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας
860 νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασιν,
μηδ' †ἐξελοῦσ' ὡς† καρδίαν ἀλεκτόρων
ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσηις ἄρη

844 θυμόν (gl. ad 840, cf. Σ 832) del Page[3] 845 με γὰρ Heyse (praeeunte Hartung): γάρ με Ω τιμῶν M[as] δαναιᾶν L. Dindorf II 885: δαμαί*ων M (ss. αν M[s]): δαμέαν τ: τὴν δημοσίαν et τῶν δημοσίων Σ 847 δόλοι Σ M[s]: δόλω M τ 849 μὲν M: γε μὴν τ καὶ τοῦτο μὲν Heyse: καίτοι ⟨τὰ⟩ μὲν Hermann[8] 799, ⟨τὸ⟩ μὲν Verrall[10]: καὶ τῶι (γε μὴν) Wakefield[3] μὲν ⟨εἶ⟩ Abresch II 116 post 855 lac. stat. Hermann[32] 857 ὅσ' ἂν Ahrens[5] 300: ὅσων Pauw 859 θηγάνας Σ[λ] M: θηγγάνων τ 860 ἀοίνοις Arsenius: -ους Ω ἐμμανὴς Aur.[3]/Portus[2] 861 μήτ' Dind.[4] ἐξάγουσ' Burges[9] (ἀναπτερώσασα Σ) ὡς Heath monosyllabum proclit. solitarium ad caesuram insolenter positum: possis e.g. ἐξεγ⟨είρ⟩ουσ' (vel -ασ') ὡς ἀλ. κέαρ 862 ἐμοῖσιν M ἱδρύσηικάρη M[c], κάρα M[a], ἱδρύση κάρα τ: corr. Steph.

ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
865 ἐν ὧι τις ἔσται δεινὸς εὐκλείας ἔρως·
ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ' ἑλέσθαί σοι πάρεστιν ἐξ ἐμοῦ,
εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.

870 ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ, ant. 2
ἐμὲ παλαιόφρονα, κατά τε γᾶν οἰκεῖν
⟨ἵν'⟩ ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος
ἅπαντά τε κότον.
οἰοῖ δᾶ φεῦ·
875 τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα;
{θυμὸν} ἄϊε μᾶτερ Νύξ·
ἀπό με γὰρ τιμᾶν δαναιᾶν θεῶν
880 δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.

ΑΘ. οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά,
ὡς μήποτ' εἴπῃς πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιὰ καὶ πολισσούχων βροτῶν
ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
885 ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας,
γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,

864 sq. ἔσται ... ἔστω Thiersch[2] 68 865 ἐστι M[as] possis ἔρωι 866 στέργω Schütz[6], cf. 911.970 870–80 corruptelas refero, emendationes supra rettuli ad 837–47 871 τε om. *τ* 872 μῦσοσ M 876 πλευρᾶς *τ* 878 γάρ με *Ω* τιμᾶν T, τιμὰν G, τιτὰν FE δαμίαν M: δαμέαν *τ* 880 δόλοι M[s]: δόλω M T: δόλον *τ* 881 καλοῦμαι *τ* 887 θέλῃς M[as] T

οὔ τἂν δικαίως τῆιδ' ἐπιρρέποις πόληι
μῆνίν τιν' ἢ κότον τιν' ἢ βλάβην στρατῶι·
890 ἔξεστι γάρ σοι τῆσδε γαμόρωι χθονός
εἶναι δικαίως εἰς τὸ πᾶν τιμωμένηι.
ΧΟ. ἄνασσ' Ἀθάνα, τίνα με φὴις ἔχειν ἕδραν;
ΑΘ. πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.
ΧΟ. καὶ δὴ δέδεγμαι – τίς δέ μοι τιμὴ μένει;
895 ΑΘ. ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.
ΧΟ. σὺ τοῦτο πράξεις, ὥστ' ἐμὲ σθένειν τόσον;
ΑΘ. τῶι γὰρ σέβοντι ξυμφορὰς ὀρθώσομεν.
ΧΟ. καί μοι πρὸ παντὸς ἐγγύην θήσηι χρόνου;
ΑΘ. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ.
900 ΧΟ. θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.
ΑΘ. τοιγὰρ κατὰ χθόν' οὖσ' ἐπικτήσηι φίλους.
ΧΟ. τί οὖν μ' ἄνωγας τῆιδ' ἐφυμνῆσαι χθονί;
ΑΘ. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου
905 ἐξ οὐρανοῦ τε· κἀνέμων ἀήματα
εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
καρπόν τε γαίας καὶ βοτῶν ἐπίρρυτον
ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνωι·

895 cf. Hsch. ε 6864 903 cf. Hsch. ε 5186

---

888 ἐπιρρέπειν *τ* πόλει *Ω* 889 στρατοῦ Wecklein[11] 890 τῆσδε E: τῆδε *Ω* γ'ἀμοίρου *Ω* (-ρῳ T): corr. Dobree[1] 654 892 ἕξειν Elmsley[8] 303 895 εὐσθενεῖν *Ω* (cf. 896): corr. Scal.[2] 896 ὥστέ με M 897 ξυμ- Porson[1]: συμ- *Ω* 898 πρόπαντος Abresch II 121 900 μεθίστασθαι *τ* post 903 versum qualem εὔχου δ' ἀφειδῶς ἐσθλὰ πέμπεσθαι βροτοῖς deesse susp. Paley[2] 905 τἀνέμων Blass[9], at cf. Cho. 592 906 εὐηνίως Wakefield[3] 907 βοτῶν anon.[3]: βροτῶν (909) *Ω* 908 εὐθενοῦντα⟦σ⟧ M: εὐσθενοῦντα T[ss] E: εὐστενοῦντα GTF

καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
910 τῶν δ' εὐσεβούντων ἐκφορωτέρα πέλοις·
στέργω γάρ, ἀνδρὸς φιτυποίμενος δίκην,
τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
τοιαῦτά σοὔστι· τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ
915 τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.

ΧΟ. δέξομαι Παλλάδος ξυνοικίαν, str. 1
οὐδ' ἀτιμάσω πόλιν
τὰν καὶ Ζεὺς ὁ παγκρατὴς Ἄρης
τε φρούριον θεῶν νέμει,
920 ῥυσίβωμον Ἑλλάνων ἄγαλμα δαιμόνων·
ἅιτ' ἐγὼ κατεύχομαι
θεσπίσασα πρευμενῶς
ἐπισσύτους βίου τύχας ὀνησίμους
925 γαίας ἐξαμβρῦσαι
φαιδρὸν ἁλίου σέλας.

ΑΘ. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
πράσσω, μεγάλας καὶ δυσαρέστους
δαίμονας αὐτοῦ καταναςσαμένη·

909 σωτηρία, Weil[15] 910 δ' εὐσεβούντων Heath (vel εὐσ. δ' Blaydes[2] 351): δυσσεβούντων δ' M et sine δ' *τ* ἐκφορωτέρα feracior 911 sq. choro trib. *τ*, 913 paragr. M 911 φῖτυ ποιμένοσ M, φιτυποιμένος *τ*: proparox. Lobeck[3] 195 913 fort. σοὔσται 914 τρεπτῶν *τ* ἀφέξομαι Pauw οὐ om. *τ* 919 νέμει M: νόμον *τ* (-ὧν E) 924 βίου τύχας M F[a] (*Ω*): βίους Tricl. (G T F[c], βίου E) responsionis causa fort. ὀνασίμους, cf. Eur. Hipp. 757. Björck 169 sq. 925 ἐξαμβρῦσαι Pauw: -αμβρόσαι M: -αμυρόσαι *τ* 927 προφρόνως M T: -φόνως G F, -φώνως E

[930] πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν·
ὁ δὲ μὴ ⟨⏕ – | ⏕ ⏖⟩ κύρσας βαρεῶν τούτων,
οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου·
τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν
[935] πρὸς τάσδ' ἀπάγει·
σιγῶν ⟨δ'⟩ ὄλεθρος καὶ μέγα φωνοῦντ'
ἐχθραῖς ὀργαῖς ἀμαθύνει.

ΧΟ. δενδροπήμων δὲ μὴ πνέοι βλάβα – ant. 1
τὰν ἐμὰν χάριν λέγω –
[940] φλογμοὺς ὀμματοστερεῖς φυτῶν
τὸ μὴ περᾶν ὅρον τόπων,
μηδ' ἄκαρπος αἰανὴς ἐφερπέτω νόσος.
μῆλά τ' εὐθενοῦντα Πὰν
[945] ξὺν διπλοῖσιν ἐμβρύοις
τρέφοι, χρόνωι ⟨τε τῶι⟩ τεταγμένωι γόνος
πλουτόχθων ἰκμαίαν
δαιμόνων δόσιν πίοι.

932 ὅ γε μὴν Linwood[2] lac. stat. Murray[1], supplens e.g. ⟨λίαν ἀλιτών,⟩ βαρεῶν E. A. J. Ahrens: βαρέων *Ω* 934 ἀμπλακήματά M: ἁμαρτήματα *τ*: corr. Pauw νιν om. *τ* 936 ⟨δ'⟩ Musgrave: ⟨τ'⟩ Blaydes[2] 352 938 πλέοι *τ* 940 φλογμούς τ' ὀμματοστερεῖς Heath, sine τ' Wil.[13]: φλογμὸς (φλοιγμὸσ M, φλογμός τ' T) ὀμματοστερὴς *Ω* 944 εὐθενοῦντ' ἄγαν M, εὐθηνοῦντ' ἄγαν *τ*: corr. Meineke[3] 229: -οῦντα Γᾶ Dobree[1] 653 945 διπλοῖσ ἐν βρύοισ M 946 ita interpunxit et supplevit Verrall[4]: τρέφοι χρόνωι τεταγμένωι· γόνος ⟨⏑ –⟩ plerique (δ' ἀεὶ Musgrave, δὲ γᾶς Hermann[28] 112) 947 sq. γόνος πλουτόχθων = seges opima, cf. Hes. Th. 969. Op. 126 c. adn. meis ἰκμαίαν ... πίοι West[7]: ἑρμαίαν ... τίοι *Ω*

950 ΑΘ. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον, οἷ' ἐπικραίνει;
μέγα γὰρ δύναται πότνι' Ἐρινὺς
παρά τ' ἀθανάτοις τοῖς θ' ὑπὸ γαῖαν,
περί τ' ἀνθρώπων φανέρ' ὡς τελέως διαπράσσουσιν,
τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ ⟨δα⟩κρύων
955 βίον ἀμβλωπὸν παρέχουσαι.

ΧΟ. ἀνδροκμῆτας δ' ἀώρους ἀπεννέπω τύχας, — str. 2
νεανίδων τ' ἐπηράτων
960 ἀνδροτυχεῖς βιότους δότε κύρι' ἔχοντες
θεαί τ' ὦ Μοῖραι
ματροκασιγνῆται,
δαίμονες ὀρθονόμοι,
παντὶ δόμωι μετάκοινοι,
965 παντὶ χρόνωι δ' ἐπιβριθεῖς
ἐνδίκοις ὁμιλίαις,
πάνται τιμιώταται θεῶν.

ΑΘ. τάδε τοι, χώραι τἠμῆι προφρόνως ἐπικραινομένων,
970 γάνυμαι· στέργω δ' ὄμμα τὸ Πειθοῦς,
ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπώπα

971 cf. ad 275

---

949 ἦ T: ἢ Ω   ἀκούεις Meineke[3] 229   χώρας Weil[15]   ἐπικρανεῖ M^c 952 ἀθανάτοις ⟨τοῖς οὐρανίοις⟩ Heyse, cf. Eur. Hec. 146. fr. 912.6 sqq.   953 φανερῶς Ω: dist. Meineke l.c.   954 κρύων Ω: suppl. T: δάκρυσιν Blaydes[6]: κρυερὸν Young[1] 94   956 ἀώροις GFE   958 δ' Aur.[3]   959 sq. ἀνδροτελεῖς Burges[9]   βιότου τ   κύρι' M (υ i.r.): κύριες τ: κῦρος Heyse   961 τ' ὦ Hermann[28] 115: τῶν Ω   964 δαίμω GFE   μεγάκοινοι τ, μέγακοινοι M: corr. Turn.   967 πάντα Ω (πάντων T): corr. Canter   968 τάδε τῇ E: τάδ' ἐγὼ (927) Burges[9]   970 ὄμμα τὸ West[2] 101: ὄμματα M: ὄμματι τ   971 ἐπώπα Schütz[2]: ἐπωπᾶι M: ἐποπτᾶ τ

πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος·
975 νικᾶι δ' ἀγαθῶν ἔρις ἡμετέρα διὰ παντός.

ΧΟ. τὰν δ' ἄπληστον κακῶν μήποτ' ἐν πόληι στάσιν — ant. 2
τᾶιδ' ἐπεύχομαι βρέμειν,
980 μηδὲ πιοῦσα κόνῑς μέλαν αἷμα πολιτᾶν
δι' ὀργὰν ποινάς
ἀντιφόνους, ἄτας
ἁρπαλίσαι πόλεως·
χάρματα δ' ἀντιδιδοῖεν
985 κοινοφιλεῖ διανοίαι,
καὶ στυγεῖν μιᾶι φρενί·
πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.

ΑΘ. ἆρα φρονοῦσιν γλώσσης ἀγαθῆς ὁδὸν εὑρίσκει⟨ν⟩;
990 ἐκ τῶν φοβερῶν τῶνδε προσώπων
μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις·
τάσδε γὰρ εὔφρονας εὔφρονες αἰεὶ μέγα τιμῶντες
καὶ γῆν καὶ πόλιν ὀρθοδίκαιον
995 πρέψετε πάντως διάγοντες.

972 ἀπονην- τ 977 πόλει Ω 979 δὲ πιοῦσα M^c: δ'ἐπιοῦσα M^a τ 980 πολιητᾶν Tricl. (GFTE) responsionis causa (cf. ad 960) 981 ποινᾶς τ (at cf. 464) 982 ἀντιφώνους τ ⟨τ'⟩ ἄτας Blass[9] hic deficit E 985 κοινοφελεῖ M^a, κοινωφελεῖ M^sτ: corr. Hermann[5] 986 μιᾶι φρενὶ στυγεῖν Thomson[6] 988 ἄρα M^a, ἀρὰ M^s φρονοῦσι TF, -ούσης G 989 εὑρίσκειν Pauw: -ει Ω 990 ἔκ τοι Wil.[19] προσέρπον Headlam[13] 287 cl. Soph. Ai. 1255 992 εὔφρονας Turn.: εὐφρόνας τ, εὐφράνασ M ἀεὶ M 995 πάντως G: πάντες MTF

ΧΟ. ⟨χαίρετε,⟩ χαίρετ' ἐναισιμίαισ⟨ι⟩ πλούτου, str. 3
χαίρετ' Ἀττικὸς λεώς,
ἴκταρ ἥμενας Διός
παρθένου φίλας φίλοι,
1000 σωφρονοῦντες ἐν κόρωι·
Παλλάδος δ' ὑπὸ πτεροῖς
ὄντας ἅζεται πατήρ.

ΑΘ. χαίρετε χὐμεῖς· προτέραν δ' ἐμὲ χρὴ
στείχειν θαλάμους ἀποδείξουσαν
1005 πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν.
ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν κατὰ γῆς σύμεναι
τὸ μὲν ἀτηρὸν χωρὶς κατέχειν,
τὸ δὲ κερδαλέον πέμπειν πόλεως ἐπὶ νίκηι.
1010 ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι
παῖδες Κραναοῦ, ταῖσδε μετοίκοι⟨ς⟩·
εἴη δ' ἀγαθῶν ἀγαθὴ διάνοια πολίταις.

997–8 Erot. 46.21 N.

---

996 ⟨χαίρετε⟩ (cf. 1014) Turn. ἐναισιμίαισ M, ἐν αἰσιμίαις τ (-αισι T) 997 Ἀττικὸς (681) Erotianus: ἀστικὸς Ω 998 ἴκταρ M ἥμενοι Ω, ἣν μὲν οἷο codd. Erot.: corr. Bothe[1] 999 παρθένους MF: -οις GT: corr. Rob., Turn. 1000 κόρωι Herwerden[5] 159: χρόνωι (946.965) Ω 1003 δ'ὑμεῖς τ ποτέραν GF δέ με Ω: corr. Wakefield[3] 1005 πρόπομπον Ω: corr. Portus[2] 1006 σφαγίων] φανῶν Weil[15] (melius πανῶν, cf. ad Ag. 284): φεγγῶν (cf. 1022) Schoemann[1] fort. τῆσδ' vel τῆιδ' 1008 ἀτήριον Ω: corr. Bentley[2] 141/230 χωρὶς Linwood[2]: χώρας Ω: χώραι Paley[3] χώρας ἀπέχειν Burges[9], at cf. Pers. 223 1010 ὑμεῖς T: ἡμεῖς Ω 1011 μέτοικοι Ω: corr. Turn.

ΧΟ. χαίρετε, χαίρετε δ' αὖθις, ἐπανδιπλοίζω, — ant. 3
1015 πάντες οἱ κατὰ πτόλιν
δαίμονές τε καὶ βροτοί·
Παλλάδος πόλιν νέμον-
τες, μετοικίαν δ' ἐμάν
εὐσεβοῦντες, οὔτι μέμ-
1020 ψεσθε συμφορὰς βίου.

ΑΘ. αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων,
πέμψω τε φέγγει λαμπάδων σελασφόρων
εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους
ξὺν προσπόλοισιν αἵτε φρουροῦσιν βρέτας
1025 τοὐμόν, δικαίως· ὄμμα γὰρ πάσης χθονός
Θησῇδος ἐξίκοιτ' ἄν, εὐκλεὴς λόχος
παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασιν
⟨. . . . .
. . . .⟩
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός,
1030 ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονός
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

1014 ἐπανδιπλοίζω Hermann[28] 117: ἐπιδιπλοΐζω *Ω* (δ' αὖθις ἐπι om. T responsionis causa): ἔπος δ. Dind.[4]: ἐπανδιπλάζω (Prom. 817) Sidgwick[4] 1018 τ' Murray[1] ἐμὴν *Ω* (ἐμοὶ M[a]) 1019 εὖ σέβοντες Turn. μεμέμψεσθε GF 1021 τε Hermann[5]: δὲ *Ω*: σε μύθου Wieseler[1] 188 1023 κατὰ (Pers. 689[vl]. Ag. 1386. Cho. 356) Burges[9] 1026 θησηΐδοσ M, θρησηΐδος *τ*: corr. Wakefield[3] εὐκλειὴς G 1028 ante vel post h.v. lac. stat. Hermann[16] 11 sq./133, [28]117 sqq. 1025–8 ad cultum futurum spectant (cf. 856), 1029 ad pompam statim faciendam. veri simile est autem Minervam Furiis hic nomen Εὐμενίδας indidisse, quod in hac fabula factum esse testantur argumentum et Harpocr. (supra p. 341) ἐνδυτῶν Hartung: ἐνδυτοὺς Murray[1]: ἐνδυτοὶ δ' Wakefield[3] 1029 πάρος Headlam[13] 287 1031 an προσφοραῖς?

ΝΕΩΚΟΡΟΙ

βᾶτ' †ἐν δόμωι† μεγάλαι φιλότιμοι — str. 1
Νυκτὸς παῖδες ἄπαιδες ὑπ' εὔφρονι πομπᾶι.
1035 – εὐφαμεῖτε δὲ χωρῖται.

γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν — ant. 1
{καὶ} τιμαῖς καὶ θυσίαις περίσεπτα τύχοιτε.
– εὐφαμεῖτε δὲ πανδαμεί.

1040 ἵλᾱοι δὲ καὶ εὐθύφρονες γᾶι — str. 2
δεῦρ' ἴτε, Σεμναὶ ⟨θεαί⟩, πυριδάπτωι
λαμπάδι τερπόμεναι καθ' ὁδόν. {δ'}
– ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

σπουδᾶι δ' εἴσιτε πανδάϊδ' οἶκον· — ant. 2
1045 Παλλάδος ἀστοῖς Ζεὺς παντόπτας
οὕτω Μοῖρά τε συγκατέβα.
– ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

1032 ΝΕΩΚΟΡΟΙ West[7]: χο. *Ω*: προπομποί Σ T et index personarum. eae sunt, credo, quae 1024 designantur   βᾶτε δόμον Hermann[5] (δόμους Emperius[0], δόμωι Wellauer[2]): βᾶθ' ὁδὸν ὦ Headlam[8] 201   1033 sq. ἄπαιδοσ M[a]   εὔφρονι Burney[1]: εὐθύφρονι (1040) *Ω*   1035 χωρεῖτε *Ω*: corr. Hermann[18] 435   1037 sq. καὶ del. Hermann[5]   περισέπται M, -σέπτᾳ TF, -σέπτα G: corr. Musgrave   τύχοιτε Wakefield[3]: τύχαι τε M, -ᾳ τε TF, -α τε G   1039 εὐφημ- F   πανδαμί M: πανδημεί r: corr. Rob., Turn.   1040 εὔφρονες αἶαι Meineke[3] 230   1041 ⟨θεαὶ⟩ Hartung: ⟨σὺν⟩ Hermann[28] 125   1042 δ' del. Boissonade   1044 σπουδᾶι δ' εἴσιτε πανδάϊδ' οἶκον West[7] (σπονδᾶι δ' εἴσιτ' ἀν' ἐνδάϊδ' οἶκον Young[1] 87): σπονδαὶ δ'ἐς τὸ πᾶν ἔνδα(ι)δες οἴκων *Ω* (μετὰ λαμπάδων Σ)   1045 ἀστοῖσι *Ω*: corr. Musgrave   ⟨ὁ⟩ πανόπτας id. (πανόπτας iam Asul.)   1046 συγκατέβαν Blaydes[2]

CANTICORVM METRA

Siglis utor his:

$\bar{\times}$	syllaba longa in loco ancipiti
⏖	duae breves ex resolutione in loco principi
$\ddot{-}$	longa in loco bicipiti
|	finis vocabuli
||	finis periodi
|||	finis strophae
:| :||	accedit pausa syntactica
⁀	zeugma, i.e. vitatur finis vocabuli
∫	vocabulum una syllaba transgreditur colorum iuncturam
: :	mutatio personae
∼	respondet stropha antistropho
!	exclamatio (extra metrum)
$\wedge$	($ia_\wedge$, $da_\wedge$, etc.) metrum seu versus catalecticus
+	(δ^+, io^+) metrum seu versus hypercatalectus
an	metrum anapaesticum
ar	versus aristophaneus
ar^d	versus aristophaneus dactylo auctus (ar^{2d} = duobus dactylis auctus)
ch	choriambus
cr	creticus
δ	dochmius
d/D	– ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ –
D^2/D^3	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ –
$_\wedge D$	∪ ∪ – ∪ ∪ –
da	dactyli
$da_{\wedge\wedge}$	dactyli cum brachycatalexi (...– ∪ ∪ –)
dod	dodrans
$dod^{\cdot\cdot}$	dodrans inversus (– × – ∪ ∪ –)
e/E	in dactylo-epitritis cola – ∪ – / – ∪ – × – ∪ –
E^2	– ∪ – × – ∪ – × – ∪ –

gl	versus glyconeus
¨gl	versus glyconeus cum anaclasi (= ch ia)
hag	versus hagesichoreus
hag^{c}	versus hagesichoreus choriambo auctus
hδ	hypodochmius
hex	hexameter dactylicus
hi	versus hipponacteus
ia	metrum iambicum ($_{\wedge}$ia / ia$_{\wedge}$ / $_{\wedge}$ia$_{\wedge}$ = – ∪ – / ∪ – – / – – pro metro iambico)
$2io^{\div}$	dimeter ionicus anaclasticus (= versus anacreonteus)
io	metrum ionicum
ith	versus ithyphallicus
kδ	dochmius kaibelianus
lec	lecythium
mol	molossus
pe	penthemimeres
ph	versus pherecrateus
tl	versus telesilleus
tl¨	versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –)
tr	metrum trochaicum

Praeter opera in indice criticorum memorata citantur etiam:

Dale	A. M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83
Dale CP	eadem, Collected Papers, Cambr. 1969
Dale LM[2]	eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968
West GM	M. L. West, Greek Metre, Oxford 1982

ΕΥΜΕΝΙΔΕΣ

143	149	⏑ ⏔ – ⏑ – ‖	δ ‖
		⏑ ⏑⏑ – ⏑ – ‖	δ ‖
144	150	⏒ – ⏑ – ⏒ – ⏑ – ⏑ – ⏑ – ‖	3ia ‖
145	151	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ – ⏑ – |	δ | δ |
146	152	⏑ – – ⏑ – : ‖	δ ‖
147	153	x̄ – ⏑ – x̄ – ⏑ – ⏑ – ⏑ – : ‖	3ia ‖
148	154	⏑ – ⏑ – – | ⏑ – – ⏑ ⏓ ‖|	ia∫ ‸ia ‸ia ‖|
155	162	⏑ – ⏑ – ⏑ | – ⏑ – ⏑ – ⏑ – ‖	3ia ‖
156	163	⏑ – – ⏑ – | ⏑ – ⏑ – |	δ | ia |
157	164	⏑ ⏑⏑ – ⏒ – ‖	δ ‖
158	165	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ – : ‖	kδ ‖
159	166	⏑ – ⏑ – – ⏑ – |	ia ‸ia |
160	167	– ⏑ – | – ⏑ – |	‸ia | ‸ia |
161	168	⏑ ⏑⏑ | ⏑ ⏑⏑ ⏑ | ⏑⏑ ⏑ – ‖|	2ia ‖|
169	174	⏒ – ⏑ – ⏒ | – ⏑ – ⏒ – ⏑ ⏓ ‖	3ia ‖
170/1	175/6	⏑ ⏑⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – – ‖	δ ar (= 2δ⁺) ‖
172	177	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ – ⏑ – |	δ | δ |
173	178	⏑ – ⏑ – ⏑ – – ⏑ – ‖|	ia δ ‖|
	254/5	⏑ ⏑⏑ – ⏑ – : | – ⏑ 〈⏑〉 – x̄ – |	δ | δ |
	256/7	– ⏑ – | – ⏑ – | – ⏑⏑ ⏑⏑ ⏑ – : |	cr | cr | δ |
	258	⏑ † – ⏑ – † | x̄ – ⏑ – |	2ia ? |
	259	⏑ ⏑⏑ – x̄ – | ⏑ – – ⏑ – ‖	δ | δ ‖
	260	⏑ ⏑⏑ – ⏑ – | ⏑ – – ⏑ – : |	δ | δ |
	261	⏑ – ⏑ – ⏑ | – ⏑ – x̄ – ⏑ – ‖	3ia ‖
	262	⏑ – ⏑ – – ⏑ – |	ia ‸ia |
	263	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ – ⏑ – : ‖	δ | δ ‖
	264	x̄ – ⏑ – x̄ | – ⏑ – x̄ – ⏑ – ‖	3ia ‖
	265	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ ⏑⏑ ⏑ – |	δ | δ |
	266	– – | ⏑ – – | – ⏑ – | – ⏑ – : |	‸ia‸ | ia‸ | ‸ia | ‸ia |

	267	x̄ – ∪ – x̄ – ∪ – ∪ – ∪ – ‖	3ia ‖
	268	– ∪ –|– ∪ –|– ∪∪ – ∪ – : ‖	cr|cr|δ|
	269	x̄ – ∪ – ∪|– ∪ – ∪ – ∪ – ‖	3ia ‖
	270	– ∪∪ – ∪ –|	δ|
	271	∪∪ ∪ –|– ∪∪ – ∪ –|	cr|δ|
	272	∪ – ∪ – x̄ |– ∪ – ∪ – ∪ ⏑̲ : ‖	3ia ‖
	273	∪ – ∪ – x̄ |– ∪ – x̄ – ∪ – ‖	3ia ‖
	274	∪ – – ∪ –|	δ|
	275	– ∪∪ – ∪ –|∪ – – ∪ ⏑̲ ‖|	δ|δ ‖|

321	334	– ∪ – ∪ – ∪ –	lec
322	335	– – – ∪ ∪ – ∪ – ∪ – ∪ –|– –|	gl ia| $_{\wedge}$ia$_{\wedge}$ |
323/4	336/7	– ∪ – – ∪ – – ∪ – – ∪ – x̄ |	$_{\wedge}$ia $_{\wedge}$ia $_{\wedge}$ia tr|
325/6	338/9	– ∪ – – ∪ –|– ∪ – – ∪ –	$_{\wedge}$ia $_{\wedge}$ia| $_{\wedge}$ia $_{\wedge}$ia
327	340	– ∪ – ∪ – ∪ – ‖|	lec ‖|

321/2 ~ 334/5] vel lec $_{\wedge}$ia$_{\wedge}$ \| dod ia\| $_{\wedge}$ia$_{\wedge}$ \|

328 = 341	∪∪ ∪ –|∪∪ ∪ –|	cr|cr|
329 = 342	∪∪ ∪ –|∪∪ ∪̣ –|	cr|cr|
330 = 343	∪∪ ∪ –|∪∪ ∪̇ –|	cr|cr|
331 = 344	– ∪ – ∪ – ∪ –|	lec|
332 = 345	– ∪ – ∪ – ∪ –	lec
333 = 346	– ∪ – ∪ – ∪ – ‖|	lec ‖|

330] de φρενοδᾰλής v. Wackernagel Kl. Schr. 860; sin -δᾱλής (cf. Supp. 563), cr\|io\|sicut Cho. 807 sq.

347/8	360/1	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	5da$_{\wedge}$ ‖
349/50	362/3	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – –|	5da$_{\wedge}$ |
351	364	– ⏖ – ∪ ∪ – – ‖	3da$_{\wedge}$ ‖
352/3	365/6	– ⏖ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – –|	6da$_{\wedge}$ |
⟨353 a⟩	367	– ∪ – ∪ – ∪ ⏑̲ ‖|	lec ‖|

354	– ∪ – ∪ – ∪ –|	lec|
355	∪∪ ∪ –|∪∪ ∪ –|	cr|cr|
356	∪∪ ∪ –|∪∪ ∪ – ‖	cr|cr ‖
357	∪∪ ∪ –|∪∪ ∪ –|	cr|cr|
358	∪∪ ∪ –|† ∪ – –	cr|?
359	– – ∪ ∪ – ∪ – ∪ – †	? ‖|

368	377	– –̈ | – –̈ – ∪ ∪ – ∪ ∪ – – |	5da$_\wedge$ |
369	378	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	5da$_\wedge$ ‖
370	379	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ |	4da |
371	380	– – – ∪ – ∪ – ∪ – ⦀	$_\wedge$ia$_\wedge$ lec ⦀
	372	∪∪ ∪ – | ∪∪ ∪ – ‖	cr | cr ‖
	373	∪∪ ∪ – | ∪∪ ∪̦ – |	cr | cr |
	374	∪∪ ∪ – | ∪∪ ∪̦̇ – |	cr | cr |
	375	∪∪ ∪ ⟨–⟩ | ∪ ∪̇ ∪ – |	cr | cr |
	376	– ∪ – ∪ ∪ – – ⦀	ph ⦀
381	389	∪ – ∪ – – ∪ –	ia $_\wedge$ia
382	390	∪ – ∪ – – ∪ –	ia $_\wedge$ia
383	391	? ∪̄ – ∪ – | – – |	ia | $_\wedge$ia$_\wedge$ |
384	392	×̄ – ∪ – ∪ – ∪ – |	2ia |
385	393	∪ ⏖ ∪ ∪∪ ∪ ⏖ ∪ – |	2ia |
386	394	∪ – ∪ – ∪ – ∪ – ∪ – ∪ – ‖	3ia ‖
387	395	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ |	4da$_\wedge$ |
388	396	– ∪ – ∪ – ∪ – ⦀	lec ⦀
490	499	– ∪ – ∪ – ∪ – |	lec |
491	500	– ∪ – | – ∪ –	$_\wedge$ia | $_\wedge$ia ∫
492	501	– | ∪ – ∪ – ∪ – |	lec |
493	502	– ∪ – – ∪ – : |	$_\wedge$ia $_\wedge$ia |
494	503	– ∪ – – ∪ – ∪ – ∪ –	$_\wedge$ia lec ∫
495	504	– | ∪ – ∪ – ∪ ⏓ ‖	lec ‖
496	505	– ∪ ∪∪ ∪ – ∪ – ∪̄ |	2tr |
497	506	∪∪ ∪ – ∪ – ∪ –	lec ∫
498	507	– | ∪ – ∪ – ∪ – ⦀	lec ⦀
508	517	– ∪ – | ∪ – ∪ – |	lec |
509	518	– ∪ – | ∪ – ∪ – |	lec |
510	519	– ∪ – | ∪ – ∪ – ‖	lec ‖
511	520	– ∪ – ‖	$_\wedge$ia ‖
512	521	– ∪ – | ∪ – ∪ – : |	lec |
513	522	– ∪ – ∪ – ∪ – |	lec |
514	523	– ∪ – ∪ ⏖ ∪ – |	lec |
515	524	– ∪ – ∪ – ∪ –	lec ∫
516	525	– | ∪ – ∪ – ∪ – ⦀	lec ⦀

526	538	– ⏑ – – ⏑ –|	‸ia ‸ia|
527	539	– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖
528	540	– ⏑ –|	‸ia|
529/30	541/2	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑	} 7da‸ ‖
531	543	– –̈ – ⏑ ⏑ – – : ‖	
532	544	– ⏑ – ⏑ – ⏑ – : ‖	lec ‖
533/4	545/6	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –|	5da‸‸|
535	547	– ⏑ ⏑ – – ‖	2da‸ ‖
536	548	⏑ – ⏑ – – ⏑ –|	ia ‸ia|
537	549	– ⏑ ⏑ – ⏑ – – |||	ar |||
550	558	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ –|	ia lec|
551	559	– ⏑ – ⏑ – – :|	ith|
552	560	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏓ ‖	ia ith ‖
553	561	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ –|	ia lec|
554	562	⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ – ⏑ –|	3ia|
555	563	⏑ – – – ⏑ – ⏑ – – ‖	ia‸ ith ‖
556	564	– ⏑ ⏑ – ⏑ – ⏑ –|	ch ia|
557	565	– ⏑ ⏑ – ⏑ – – |||	ar |||
778 = 808		⏑ – ⏑ – ⏑ – ⏑ –|⏑ – – ⏑ –|	2ia|δ|
779 = 809		⏑ – ⏑ – ⏑|– ⏑ – x̄ – ⏑ – ‖	3ia ‖
780 = 810		⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ ⏑⏑ ⏑ – ‖	3ia ‖
781 = 811		x̄ – – ⏑ – ‖	δ ‖
782 = 812		– ⏑ – ⏑ – ⏑ – –|⏑ – ⏑ – ⏑ –	lec ∫ lec
783/4 = 813/4		⏑ – – ⏑ ⏑ ⟨⏑⟩|⏑ ⏑⏑ – ⏑ –|	δ|δ|
785 = 815		x̄ – ⏑ – ⏑|⏑⏑ ⏑ – ⏑ – ⟨⏑ –⟩ ‖	3ia ‖
786 = 816		⏑ ⏑⏑ ⏑⏑ ⏑ –|	δ|
787 = 817		⏑ – ⏑ – x̄ – ⏑|– x̄ – ⏑ – ‖	3ia ‖
788 = 818		⏑ – –|⏑ – –|	ia‸ | ia‸ |
789 = 819		⏑ – –|† ⏑ – ⏑|	ia‸ |
790 = 820		⏑ – –|⏑ ⏑̦ ⏑|	
791 = 821		⏑ – ⏑ ⏑ –̇? – †|	
792 = 822		⏑ – – ⏑ –|	δ|
793 = 823		– ⏑ ⏑ – ⏑ – – |||	ar |||
837 = 870		⏑ ⏑⏑ – ⏑ ⏓| φεῦ ‖	δ ‖ ! ‖
838 = 871		⏑ ⏑⏑ – ⏑ ⏑⏑|⏑ ⏑⏑ – x̄ –|	δ|δ|
839 = 872		⟨⏑⟩ ⏑⏑ ⏑ –|– ⏑ – ‖	ia| ‸ia ‖

840 = 873	⏑ – – ⏑ – ‖	δ ‖
	⏑ –̆ ⏖ ⏑ – ‖	δ ‖
841 = 874	οἰ(οι)οῖ δᾶ φεῦ· ‖	! = an (δ?) ‖
842/3 = 875/6	– ⏖ – ⏑ –|– – (?⟨⏑⟩) ⏑ ⏑ – ‖	δ|an (δ?) ‖
844 = 877	⏑ ⏖ – x̄ –|	δ|
845 = 878	⏑ ⏖ – x̄ –| x̄ – – ⏑ –|	δ|δ|
846/7 = 879/80	– ⏖ – ⏑ – ⏑ – – ⏑ – ‖|	2δ ‖|

837] vel ⏑ ⏖ – ⏑ ⏑ – ‖ = δ cf. West GM 111. 114 n. 97

916	938	– ⏑ – – ⏑ – ⏑ – ⏑ –|	‸ia lec|
917	939	– ⏑ – ⏑ – ⏑ –|	lec|
918	940	– –|– ⏑ – ⏑ – ⏑ –	‸ia‸ | lec
919	941	⏑ – ⏑ –|⏑ – ⏑ – :|	2ia|
920/1	942/3	– ⏑ – ⏑ – – –|⏑ – ⏑ – ⏑ – :|	‸ia ia‸ ∫ lec|
922	944	– ⏑ – ⏑ – ⏑ –|	lec|
923	945	– ⏑ – ⏑ – ⏑ –|	lec|
924	946	⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –|	3ia|
925	947	– –̈ – –̈ – –|	D – ?|
926	948	– ⏑ – ⏑ – ⏑ – ‖|	lec ‖|

956/7	976/7	– ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑ –|	‸ia ‸ia lec|
958	978	– ⏑ – ⏑ – ⏑ –|	lec|
959/60	979/80	– ⏑ ⏑ – ⏑ ⏑ –|⏑ ⏑ – ⏑ ⏑ – – ‖	5da‸ ‖
961	981	⏑ – – x̄ –|	δ|
962	982	– ⏖ – x̄ –|	δ (= D)|
963	983	– ⏑ ⏑ – ⏑ ⏑ –|	D|
964	984	– ⏑ ⏑ – ⏑ ⏑ – –|	D –|
965	985	– ⏑ ⏑ – ⏑ ⏑ – –|	D –|
966	986	– ⏑ – ⏑ – ⏑ ⏑̲ ‖	lec ‖
967	987	– –|– ⏑ – ⏑ – ⏑ – ‖|	‸ia‸ | lec ‖|

996	1014	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –|	ar[2d]|
997	1015	– ⏑ – ⏑ – ⏑ –|	lec|
998	1016	– ⏑ – ⏑ – ⏑ –|	lec|
999	1017	– ⏑ – ⏑ – ⏑ –	lec
1000	1018	– ⏑ – ⏑ – ⏑ –|	lec|
1001	1019	– ⏑ – ⏑ – ⏑ –	lec
1002	1020	– ⏑ – ⏑ – ⏑ – ‖|	lec ‖|

1032	36	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	4da$_\wedge$ ‖
1033/4	37/8	– ⏗ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	5da$_\wedge$ ‖
1035	39	– ⏗ – ∪ ∪ – ⏗ – ‖‖	D^2 ‖‖
1040	44	– ⏗ – ∪ ∪ – ∪ ∪ – – ‖	4da$_\wedge$ ‖
1041	45	– ∪ ∪ – – | – ⏖ – – |	2da$_\wedge$ | 2da$_\wedge$ |
1042	46	– ⏖ – ∪ ∪ – ∪ ∪ – ‖	D^2 ‖
1043	= 47	∪ ∪ – ∪ ∪ – | ∪ ∪ – – ‖‖	2an$_\wedge$ ‖‖